Η ΟΔΟΣ ΠΡΟΣ ΤΟΝ ΘΕΟΝ

Η

ΠΕΡΙ ΤΟΥ ΤΕΛΟΥΣ ΤΟΥ ΑΝΘΡΩΠΟΥ

ΚΑΤΑ ΜΑΞΙΜΟΝ ΤΟΝ ΟΜΟΛΟΓΗΤΗΝ

ΕΚΔΙΔΟΤΑΙ

ΥΠΟ

ΣΩΚΡΑΤΟΥΣ ΣΤΑΥΡΙΔΟΥ

Ἀδείᾳ τοῦ Αὐτοκρατορ. Ὑπουργείου τῆς Παιδείας

Inaugural Dissertation
zur
Erlangung der Doctorwürde
bei der philosophischen Facultät
der Universität Leipzig
eingereicht
von
Socrates Stavrides



ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ

1894

Η ΟΔΟΣ ΠΡΟΣ ΤΟΝ ΘΕΟΝ

Η

ΠΕΡΙ ΤΟΥ ΤΕΛΟΥΣ ΤΟΥ ΑΝΘΡΩΠΟΥ

ΚΑΤΑ ΜΑΞΙΜΟΝ ΤΟΝ ΟΜΟΛΟΓΗΤΗΝ

ΕΚΔΙΔΟΤΑΙ

ΥΠΟ

ΣΩΚΡΑΤΟΥΣ ΣΤΑΥΡΙΔΟΥ

'Αδεία τοῦ Αὐτοκρατορ. Ὑπουργείου τῆς Παιδείας

Inaugural Dissertation
zur
Erlangung der Doctorwürde
bei der philosophischen Facultät
der Universität Leipzig
eingereicht
von

SOCRATES STAVRIDES



ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ

1894

ΤΥΠΟΙΣ Β. ΦΙΛΙΠΠΙΔΟΥ, ΚΟΥΡΣΟΥΜ ΧΑΝ ΑΡΙΘ. 3

Η ΟΔΟΣ ΠΡΟΣ ΤΟΝ ΘΕΟΝ

Ἢ

ΠΕΡΙ ΤΟΥ ΤΕΛΟΥΣ ΤΟΥ ΑΝΘΡΩΠΟΥ

ΚΑΤΑ ΜΑΞΙΜΟΝ ΤΟΝ ΟΜΟΛΟΓΗΤΗΝ



Κείμενον ἔσχον τὴν ἔκδοσιν τοῦ Μαξίμου ἐν τῇ *Πατρολογίᾳ* τοῦ Migne (τόμοι 90, 91.)

Παραπέμπω εἰς τοὺς ἐν τῷ κειμένῳ ἀριθμοὺς δηλοῦντας τὰς σελίδας τῆς ἐκδόσεως τοῦ Combefis.

Περὶ Μαξ. ἔγραψαν πολλοί, (ἴδε Real Encyclopædie für Prot. Theol.) Ἐκ τούτων ἐπωφελήθην ἰδίως.

Neander (Kirchengeschichte III, 239, 244.)

Baur (Lehre von der Dreieinigkeit II, 102, 262.)

Gass (Nikolaus Kabasilas 49 f 154 f.)

Huber (Philosophie der Kirchenväter 341)

Landerer (Verhältnis von Gnade und Freiheit in den Jahrbüchern für deutsche Theol. 1857, 583.)


Steitz (Abendmahlslehre der griechishen Kirche in den Jahrb. für d. Theol. 1866, XI, 229 f.)

Wagemann (Realencyclopädie für prot. Theol. (erste Auflage) XX 129—144.)

Ritter (Geschichte der Phil. 1841, 6,535—553.)

Dorner (Entwickelungsgeschichte der Lehre von der Person Christi 1853 II, 283—291.)

Τὴν διδασκαλίαν Διονυσίου Ἀρεοπαγίτου ἔμαθον ἐκ τοῦ Bitter 6,512—535 καὶ Kanaki (Dion. der Areop. nach seinem Charakter als Phil. dargestellt.)



Η ΟΔΟΣ ΠΡΟΣ ΤΟΝ ΘΕΟΝ

Ἢ

ΠΕΡΙ ΤΟΥ ΤΕΛΟΥΣ ΤΟΥ ΑΝΘΡΩΠΟΥ



1. Ὁ πρῶτος ἄνθρωπος ἢ ὁ ἄνθρωπος κατὰ φύσιν.


Ὁ Μ. πλήρης πόθου πρὸς τὸν Θεὸν θεωρεῖ τὰ πάθη, τὰς βιωτικὰς μερίμνας καὶ αὐτὴν τὴν μάθησιν ὡς κωλύοντα τὸν ἄνθρωπον φθᾶσαι τὸν ποθούμενον Θεόν. Ταῦτα τὰ κωλύματα οὐκ εἶχεν ὁ πρῶτος ἄνθρωπος· «*μηδενὶ τὸ σύνολον περισπᾶτο ὁ ἀπ' ἀρχῆς τῶν ὑπ' αὐτὸν ἢ περὶ αὐτὸν ἢ κατ' αὐτόν*» (amb. lib 241α). «*Τῇ περιαιρέσει οὖν τούτων*» δυνάμεθα τὴν κατάστασιν τοῦ πρώτου ἀνθρώπου, ἤτοι τοῦ ἀνθρώπου κατὰ φύσιν γνῶναι. Ὁ πρῶτος ἄνθρωπος ἀπάτην παθῶν φαντασίας δι' ἡδονῆς οὐ προσίετο· ἦν οὖν ἀπαθής· τῆς περὶ τὰς τέχνας περιστατικῆς ἀνάγκης διὰ τὴν χρείαν ἐλεύθερος ἦν· ἦν οὖν ἀπροσδεής· τῆς περὶ τὴν φύσιν θεωρίας ὑπεράνω καθειστήκει διὰ τὴν γνῶσιν· οὐδὲν εἶχεν ὁ πρῶτος ἄνθρωπος μεταξὺ Θεοῦ καὶ αὐτοῦ προβεβλημένον πρὸς εἴδησιν καὶ κωλῦον αὐτοῦ τὴν

δι' ἀγάπης αὐθαίρετον κατὰ τὴν πρὸς Θεὸν κίνησιν γενησομένην συγγένειαν (amb. lib. 241α).

Σῶμα εἶχεν ὁ πρῶτος ἄνθρωπος, οὐ περιεβλήθη τοῦτο ἡ ψυχὴ μετὰ τὴν πτῶσιν αὐτῆς πρὸς τιμωρίαν, ὡς οἱ τὴν προύπαρξιν τῆς ψυχῆς δογματίζοντες ἀποφαίνονται. Κατὰ τὸν Μ, ἡ οὐσία τῶν ὄντων εἰσὶν οἱ λόγοι αὐτῶν οἱ ἐν τῷ Θεῷ πρὸ αἰώνων ὑπάρχοντες,—ὁμοίως καὶ παρὰ τῷ Διονυσίῳ τῷ Ἀρεοπαγ., ὃς τοὺς λόγους ὁρισμοὺς ὀνομάζει (de div nom. 5, 8). Πάντα τὰ ὄντα προϋπάρχουσιν ἐν τῷ Θεῷ δυνάμει («*τοῖς ἑαυτῶν λόγοις ἢ τῷ γνωσθῆναι ὑπὸ τοῦ Θεοῦ*») (amb. lib. 124α). «*Ὅτε οὖν βούλεται ὁ Θεὸς οὐσιοῖ καὶ προβάλλεται τὴν ἐξ ἀϊδίου ἐν ἑαυτῷ προϋπάρχουσαν γνῶσιν τὰ πάντα κατὰ τὸν δέοντα χρόνον ποιήσας τε καὶ ποιῶν τὰ καθόλου τε καὶ τὰ καθ' ἕκαστον*» (amb. lid. 123α). Κατὰ τὸν λόγον οὖν τοῦ ἀνθρώπου τὸν ἑαυτῷ προϋπάρχοντα ἐποίησε καὶ τὸν ἄνθρωπον ὁ Θεός, ὅτε ἠβουλήθη. Εἰ οὖν κατὰ τὸν λόγον τὸν ἐν τῷ Θεῷ μόνον ψυχὴ ὁ ἄνθρωπος, «*ἐποίησεν ἄρα ὁ Θεὸς τὰ σώματα παρὰ πρόθεσιν καὶ μὴ θέλων ἐτυραννήθη κατὰ βίαν ἀγόμενος πρὸς γένεσιν, ὧν τοὺς λόγους ἔχων οὐ πέφανται. Ἀλλὰ τὸ παρὰ πρόθεσιν θείαν γενόμενον ἐστέρηται λόγου καὶ σοφίας, ἐστι κακόν, οὗ τὸ εἶναι χαρακτηρίζει ἡ ἀνυπαρξία. Ἢ οὖν ὁ Θεὸς ἐξ ἀνάγκης παρὰ πρόθεσιν ἐποίησε τὸ κακὸν, ὅπερ ἀδύνατον, ἄλλη ἀρχὴ ἐποίησε ταῦτο, ὅπερ Μαννιχαίων δόξα ἐστίν*» (lib. amb. 231β—232β). Ἐν τῷ λόγῳ ἄρα τοῦ ἀνθρώπου κεῖται τὸ ἐκ σώματος καὶ ψυχῆς αὐτὸν συνίστασθαι. Τὴν πρότασιν «*ψυχὴν καὶ σῶμα ὡς μέρη ἀνθρώπου ἀλλήλων προϋπάρχειν ἢ μεθυπαρχειν ἀμήχανον*», πειρᾶται ὁ Μ. καὶ ἑτέραις

ἀποδείξεσιν βεβαιῶσαι (amb. lib. 229α, 132β, 136α, 234α, 239B)· τὸν ἄνθρωπον γὰρ θεωρεῖ ὡς μικρόκοσμον. Ἡ ἔννοια αὕτη τοῦ ἀνθρώπου οὐκ ἦν ξένη τῇ ἀρχαίᾳ Φιλοσοφίᾳ ὡς τοῖς Νεοπυθαγορείοις (Φωτ. lod. 249 s. 440, a. n.), τῷ Φίλωνι (M. Opif. 18, E 31, A 33, ε (2, 32, 35). Τὴν ἔννοιαν ταύτην ἀντέταξαν οἱ πατέρες πρὸς τὴν τοῦ Ὠριγένους (Harnack Dogmengeschichte II 132, 149, 151). Ἐκ τῆς αὐτῆς ἐννοίας ὁρμᾶται καὶ ὁ Νεμέσιος ἐν τῇ φιλ. αὐτοῦ μελέτῃ περὶ ἀνθρώπου (περὶ φύσεως ἀνθρώπου p. 13 14). Ὁ ἄνθρωπος κατὰ Μ. ἵσταται ἐν τῷ μέσῳ τῶν δύο κόσμων, τοῦ αἰσθητοῦ καὶ νοητοῦ, ὡς σύνδεσμος ἑνωτικὸς τούτων, καὶ διὰ τοῦτο ἐξ ἀνάγκης *«κρᾶμα ἐξ ἀμφοτέρων τῶν κόσμων μῖξις τῶν ἐναντίων»*· — ταῦτα παρατίθησιν ὁ Μ ἐκ τοῦ εἰς τὰ Γενέθλια λόγου Γρηγ. τοῦ Θεολόγου (amb. lib. 130ο.—Καὶ διὰ τοῦτο σῶμα καὶ ψυχὴ τὰ ἀναγκαῖα συστατικὰ τοῦ ἀνθρώπου· *«ἡ ψυχὴ γὰρ τῶν νοητῶν ἐστιν ὡς τὸ σῶμα τῶν αἰσθητῶν»* (Μυσταγ. 506). Οὐκ εἶχεν ὅμως τὸ σῶμα *«τὴν σημερινὴν θνητὴν καὶ ἀντίτυπον κρᾶσιν, ἀλλ' ἑτέραν πρέπουσαν αὐτῷ ἀμάχαις καὶ ἁπλαῖς ποιότησι συνεχομένην»*· ἦν γὰρ ἄφθαρτον· οὐκ εἶχεν οὖν καὶ τὰς φυσικὰς ὁρμάς. Τὸ σῶμα οὐκ ἐδεῖτο τροφῆς ὡς ἄφθαρτον· *«τὸ γὰρ δι' ἐπιρροῆς τροφῶν γινόμενον φυσικῶς φθείρεται σῶμα τῇ ῥοῇ διαπνεόμενον»* (amb. lib. 158β). Ἐπίσης οὐκ εἶχεν ὁ πρῶτος ἄνθρωπος τὴν φυσικὴν γονιμότητα καὶ οὐκ ἦν διῃρημένος εἰς ἄρσεν καὶ θῆλυ. *«Ἡ κατὰ τὸ ἄρσεν καὶ θῆλυ ἰδιότης, λέγει ὁ Μ., οὐδαμῶς ἤρτηται τῆς θείας προθέσεως περὶ γενέσεως τοῦ ἀνθρώπου· τῷ Θεῷ ἦν καὶ ἄλλος τρόπος τῆς εἰς πλῆθος τῶν ἀνθρώπων αὐξήσεως προε*

γνωσμένος», ὡς τοῦτο ἡ γέννησις τοῦ Χριστοῦ δείκνυσιν (amb. lib. 223α)·— παράβ. Γρηγορ. Νύσσης περὶ κατασκευῆς ἀνθρώπου 17.



2. Τὸ τέλος τοῦ ἀνθρώπου.

Τὸ τέλος τοῦ ἀνθρώπου ἦν ἡ ἕνωσις αὐτοῦ μετὰ τοῦ Θεοῦ, ἡ θέωσις. Πρὸς τοῦτο εἶχεν ὁ ἄνθρωπος ἐκ Θεοῦ «*ἀγαπητικὴν δύναμιν κατὰ νοῦν πρὸς ἡδονήν, καθ' ἣν ἀρρήτως ἀπολαύειν αὐτοῦ ἠδύνατο*». Μόνου τούτου προσεδέετο ὁ πρῶτος ἄνθρωπος πρὸς τελείωσιν αὐτοῦ «*τῆς πρὸς τὸν ὑπὲρ αὐτὸν καθ' ὅλην ταύτην τὴν ἀγαπητικὴν δύναμιν ἀσχέτου κινήσεως*» (amb. lib. 241α). Εἰ ἐκινεῖτο ὁ ἄνθρωπος πρὸς τὸν Θεόν, ἐπεγίνωσκεν ἂν αὐτὸν τὸν Θεὸν «*ἀμέσως καὶ ἀνερμηνεύτως διὰ τοῦ νοῦ αὐτοῦ*» (amb. lib. 138β). Αὕτη ἡ ἄμεσος ἐπίγνωσις τοῦ Θεοῦ, αὕτη ἡ ἀπόλαυσις τοῦ Θεοῦ ἐστὶν ἡ ἕνωσις αὐτοῦ μετὰ τοῦ Θεοῦ, ἡ θέωσις αὐτοῦ. Τὸν Θεὸν αὐτὸν γνοὺς ὁ ἄνθρωπος, ἐν ᾧ οἱ λόγοι τῶν γεγονότων πάντων εἰσίν, ἐγίνωσκεν ἂν τοὺς λόγους διὰ τοῦ λόγου αὐτοῦ, ἐκ δὲ τῶν λόγων διὰ τῆς αἰσθήσεως ἐπεγίνωσκε τὴν πᾶσαν ὁρατὴν φύσιν «*ὡς Θεὸς καὶ οὐκ ἄνθρωπος τὴν αὐτὴν ἔχων τῷ Θεῷ κατὰ χάριν τῶν ὄντων μετὰ σοφίας εἴδησιν διὰ τὴν πρὸς θέωσιν τοῦ νοῦ καὶ τῆς αἰσθήσεως μεταποίησιν*» (110). Κατὰ ταῦτα τῷ νῷ ἀντιστοιχεῖ ὁ Θεός, τῷ λόγῳ οἱ λόγοι τῶν ὄντων, ὁ νοητὸς κόσμος καὶ τῇ αἰσθήσει ὁ αἰσθητὸς κόσμος. Καὶ εἰ κατὰ Μ.

«τοῦς ἑκάτσου πράγματος ἡ οὐσία αὐτοῦ, λόγος τὸ συμβεβηκὸς καὶ τὸ ὑπὸ αἴσθησιν ἀναγόμενον ἡ τοῦ ὑποκειμένου διαφορά» (1 653 ριϐ'.), τότε οἱ λόγοι εἰσὶ τὰ συμβεβηκότα καὶ τὰ αἰσθητὰ αἱ κατὰ ὑποκείμενον διαφοραὶ τῆς θείας οὐσίας. — Παράϐ. Huber Philosophie der Kirchenvä ter p. 354.

Τὸ τέλος τοῦτο τοῦ ἀνθρώπου ἐστὶ σύναμα *«τὸ τέλος πάσης τε τῶν ὄντων συστάσεως καὶ διαμονῆς καὶ τῆς τῶν μὴ ὄντων παραγωγῆς καὶ γενέσεως»*· (I 519 μϐ') *«πρὸς τοῦτο τὸ τέλος ἀφορῶν ὁ Θεὸς τὰς τῶν ὄντων οὐσίας παρήγαγε· τοῦτό ἐστι τὸ μακάριον, δι' ὅ τὰ πάντα συνέστησαν, τέλος»* (I 209. 210)

Αὔτη ἡ ἕνωσις τοῦ ἀνθρώπου καὶ Θεοῦ ἐστιν ἡ αὐτὴ ἡ ἐν Χριστῷ γενομένη· *«τὸ γὰρ ἐν Χριστῷ ἐπὶ τέλει τοῦ αἰῶνος γενόμενον μυστήριον ἀναμφιϐόλως τοῦ ἐν ἀρχῇ τοῦ αἰῶνος ἐν τῷ προπάτορι παραθέντος ἀπόδειξίς ἐστι καὶ ἀποπλήρωσις»* amb. lib. 132α). Τὴν ἐνανθρώπησιν οὖν τοῦ Θεοῦ ἐν τῷ Ι Χ. θεωρεῖ ὁ Μ. ἀνεξάρτητον τῆς ἁμαρτίας· αὕτη ἐστὶ κατ' αὐτὸν ὁ ἀρχικὸς σκοπὸς τοῦ ἀνθρώπου καὶ τοῦ κόσμου.

Διὰ τῆς ἐνανθρωπίσεως ταύτης τοῦ Θεοῦ καὶ θεώσεως τοῦ ἀνθρώπου, ἐπειδὴ ὁ ἄνθρωπος μικρόκοσμός ἐστι, γίγνεται *«ἡ εἰς τὸν Θεὸν τὸν ὑπ' αὐτοῦ πεποιημένων ἀνακεφαλαίωσις»* (I. 209). *Διὰ ταύτης «εἷς ἀποδείκνυται τῶν ὅλων δημιουργὸς ἀναλόγως διὰ τῆς ἀνθρωπότητος πᾶσιν ἐπιϐατεύων τοῖς οὖσι καὶ εἰς ἓν ἔρχεται τὰ πολλὰ ἀλλήλων κατὰ τὴν φύσιν διεστηκότα περὶ τὴν μίαν φύσιν τοῦ ἀνθρώπου συννεύοντα· καὶ γίγνεται τὰ πάντα ἐν πᾶσιν αὐτὸς ὁ Θεὸς περιλαϐὼν καὶ ἐνυποστήσας ἑαυτῷ πάντα διὰ τὸ μηδὲν τῶν ὄντων ἄφετον κεκτῆσθαι τὴν κίνησιν καὶ τῆς αὐτοῦ ἄμοιρον παρουσίας»* (amb.lib. 12. 9).

3. Ἡ πτῶσις τοῦ ἀνθρώπου. Τὸ κακόν.

Τοῦτον τὸν ὑψηλὸν σκοπὸν ἔδει ὁ ἄνθρωπος αὐτοπροαιρέτως ἐκτελέσαι. Ἀλλ᾽ ἐν τῇ χρήσει τοῦ αὐτεξουσίου αὐτοῦ ἥμαρτεν ὁ ἄνθρωπος. Ὁ ἄνθρωπος οὐκ ἐκινήθη πρὸς τὴν ἰδίαν ἀρχὴν καὶ αἰτίαν, ἀλλ᾽ ἐστράφη πρὸς τὴν αἴσθησιν· *«τὴν ἀγαπητικὴν δύναμιν ἔδωκεν ὁ ἄνθρωπος τῇ αἰσθήσει»* (I. 213). προετίμησε *«τῶν νοουμένων καὶ ἀδήλων τέως ἀγαθῶν τὸ κατ᾽ αἴσθησιν τερπνὸν καὶ ἐπίδηλον»* (amb. lib. 238α).

Ἐκ ταύτης τῆς ἐσφαλμένης κινήσεως τοῦ ἀνθρώπου ὑπ᾽ ἄλλο ἢ *«τὴν ἀρχὴν αὐτοῦ καὶ αἰτίαν, καθ᾽ ἣν καὶ ἐφ᾽ ἣ καὶ δι᾽ ἣν γεγένηται»* (amb. lib. 125β), προῆλθε τὸ ἠθικὸν καὶ φυσικὸν κακὸν ἐν τῷ κόσμῳ. Τὸ κακὸν κατὰ Μ. *«οὔτε ἦν οὔτε ἔσται κατ᾽ οἰκείαν φύσιν ὑφεστώς, οὔτε ἔχει καθ᾽ ὁτιοῦν οὐσίαν ἢ φύσιν ἢ ὑπόστασιν ἢ δύναμιν ἢ ἐνέργειαν ἐν τοῖς οὖσιν· οὔτε ποιότης ἐστὶ οὔτε ποσότης, σχέσις, οὔτε τόπος οὔτε χρόνος, οὔτε θέσις, οὔτε ποίησις, οὔτε κίνησις, οὔτε ἕξις, οὔτε πάθος φυσικῶς τινὶ τῶν ὄντων ἐνθεωρούμενον, οὔτε μὴν ἐν τούτοις τὸ παράπαν κατ᾽ οἰκείωσιν φυσικὴν ὑφέστηκεν»* (I. 7). Οὐκ ἔστιν οὖν τὸ κακὸν οὔτε οὐσία τις οὔτε μία τῶν 10 κατὰ Ἀριστοτέλη κατηγοριῶν τῶν ὄντων. Καὶ διὰ τοῦτο κατὰ Μ. *«οὐκ ἔστι ψυχὴ ψυχῆς τιμιωτέρα»* (I. 463 α΄.), *«οὐδὲ οἱ δαίμονες φύσει κακοί»* (I. 274 ε΄.). Ταῦτα λαμβάνει ὁ Μ. ἐκ τοῦ Διονυσίου (πρβ. de div nom 421—30).—Τὸ κακὸν ἐστὶν *«ἔλλειψις τῆς πρὸς τὸ τέλος τῶν ἐγκειμένων τῇ φύσει δυνάμεων ἐνεργείας»* ἢ πάλιν τὸ κακόν ἐστὶ τῶν φυσικῶν δυνάμεων κατ᾽ ἐσφαλμένην

κρίσιν ἐπ' ἄλλο παρὰ τὸ τέλος ἀλόγιστος κίνησις. (Ι. 7). Ταῦτα λαμβάνει ὁ Μ. ἐκ τοῦ Διον. (πρβ. de div nom 4, 21—30), ἀλλ' ὁ Μ. ἐννοεῖ τὸ ἠθικὸν κακόν, ἐνῷ ὁ Διον. πραγματεύεται περὶ τοῦ κακοῦ γενικῶς ἐν τῇ φύσει, οὗτινος ἓν μέρος ἐστὶ τὸ ἠθικὸν κακόν, τὸ φυσικὸν κακὸν ἐν τῷ ἀνθρώπῳ.

Τὴν γένεσιν τοῦ ἠθικοῦ κακοῦ ἐκ τῆς ἀλογίστου ταύτης κινήσεως ἐξηγεῖται ὁ Μ. οὑτωσίν. Ὁ ἄνθρωπος «*δοὺς τῇ αἰσθήσει τὴν ἀγαπητικὴν δύναμιν ἐγέννησε τὴν ἡδονήν*». (Ι. 213), ἡ νοερὰ αὐτοῦ δύναμις στραφεῖσα πρὸς τὴν αἴσθησιν τὴν σύνθετον καὶ ὀλέθριον πρὸς πάθος ἐνεργουμένην τῶν αἰσθητῶν ἐπεσπάσατο γνῶσιν· ὅσον δὲ ὁ ἄνθρωπος κατὰ μόνην τὴν αἴσθησιν τῆς τῶν ὁρωμένων ἐπεμελεῖτο γνώσεως, τοσοῦτο τὴν ἄγνοιαν τοῦ τέλους αὐτοῦ τοῦ Θεοῦ ἑαυτῷ ἐπέσφιγγε καὶ τοσοῦτο τῆς πείρας ἀντείχετο τῆς τῶν γνωσθέντων ὑλικῶν αἰσθητικῆς ἀπολαύσεως. Τὴν ἡδονὴν ἔκτοτε ἐζήτει ὁ ἄνθρωπος καὶ πολλοὺς τρόπους τῆς συστάσεως αὐτῆς ἐπενόει, ἀλλὰ τῆς ἡδονῆς ἀναγκαία συνέπεια ἦν ἡ ὀδύνη· «*πᾶσα γὰρ κακία πέφυκε τοῖς συνιστῶσιν αὐτὴν συμφθείρεσθαι τρόποις*» Ταύτην ὅμως ὁ ἄνθρωπος κατὰ πᾶσαν σπουδὴν κατηγωνίζετο, ὑπερηγωνίζετο δὲ κατὰ πᾶσαν δύναμιν μόνον τῆς ἡδονῆς οἰόμενος, ὅπερ ἀμήχανον ἦν, διὰ τῆς τοιαύτης μεθοδείας ἀλλήλων ταύτας διαστῆσαι καὶ μόνην τὴν ἡδονὴν χωρὶς ὀδύνης ἔχειν ἀγνοήσας ὑπὸ τοῦ πάθους, ὡς οὐκ ἐνδέχεταί ποτε χωρὶς ὀδύνης εἶναι τὴν ἡδονήν. Ἐκ ταύτης οὖν τῆς ὁρμῆς πρὸς ἡδονὴν τῆς ἀποφυγῆς δὲ πρὸς τὴν ὀδύνην ἐγεννήθησαν τὰ ἀμύθητα καὶ φθοροποιὰ πάθη. Ἐκ τούτου πολυστένακτος γέγονεν ἡμῖν ἡ ζωὴ τῆς οἰκείας ἀναιρέσεως τιμῶσα τὰς ἀφορμὰς καὶ τῆς φθορᾶς τὰς προφάσεις ἑαυτῷ διὰ τὴν ἄγνοιαν ἐξευρίσκουσά τε καὶ περιέπουσα. Ἐκ τούτου ἡ μία φύσις εἰς μυρία κατεμερίσθη τμήματα καὶ οἱ

τῆς αὐτῆς φύσεως ἀλλήλων ἐσμὲν δίκην ἑρπετῶν θηρίων παραναλώματα (ὅρος κακοῦ I. 7—10.)

Ὁμοίως ὁ Μ. θεωρεῖ ἀλλαχοῦ πάσης κακίας γεννητικὰ τὴν ἄγνοιαν, τὴν φιλαυτίαν καὶ τὴν τυραννίδα. Ἐκ τῆς ἀγνοίας τοῦ Θεοῦ τοῦ τέλους τοῦ ἀνθρώπου προῆλθεν ἡ φιλαυτία· ἕνεκα ταύτης ζητεῖ ὁ ἄνθρωπος τὴν ἡδονὴν καὶ ἀποφεύγει τὴν ὀδύνην· ἡ τυραννίς ἐστι συνέπεια τῆς τάσεως ταύτης τοῦ ἀνθρώπου θεωρουμένου ἐν σχέσει πρὸς τὸν πλησίον καὶ διὰ τοῦτο ἀλλαχοῦ ὁ Μ. μόνην τὴν φιλαυτίαν θεωρεῖ ὡς μητέρα καὶ ἀρχὴν τῶν κακῶν (I. 518 λα'. λγ'.)

Συνέπεια τῆς ὀδύνης ἦν ἡ φθορὰ καὶ ὁ θάνατος· τὸ ἠθικὸν κακὸν ἐπέφερε τὸ φυσικὸν κακόν. Ἡ διαβεβλημένη ἁμαρτία ἤτοι ἡ ἑκουσία ἀπόθεσις τοῦ ἀγαθοῦ ἔσχεν ὡς συνέπειαν ἑτέραν ἀδιάβλητον ἁμαρτίαν, τὴν ἀκουσίαν ἀπόθεσιν τῆς φύσεως τῆς ἀθανασίας, τὴν φθορὰν καὶ ἀλλοίωσιν τῆς φύσεως (I. 94 lib. amb. 129β.).

Κατὰ ταῦτα ὁ Μ. θεωρεῖ τὰς φυσικὰς ὁρμὰς τοῦ ἀνθρώπου καὶ τὸ παθητικὸν τῆς ψυχῆς αὐτοῦ ὡς ἀποτελέσματα τῆς παραλόγου ταύτης κινήσεως (παραβ. I. 15). Διὰ τούτων ὁ ἄνθρωπος ἐγένετο ὅμοιος τοῖς λοιποῖς ζώοις, (παραβ. amb. lib. 210α) ὅπου θεωρεῖται ὡς καταδίκη ἐκ τῆς ἁμαρτίας «*τὴν αὐτὴν τοῖς ἀλόγοις ζώοις τοὺς ἀνθρώπους ἔχειν τῆς ἐξ ἀλλήλων διαδοχῆς ἰδιότητα*» πρβ. 238β I. 15). Ἀλλαχοῦ ὅμως ὁ Μ. θεωρεῖ τὰς ὁρμὰς φυσικὰς καὶ ἀναγκαίας πρὸς σύστασιν τῆς φύσεως (I. 555 η'. II. 166) καὶ τὸν ἄνθρωπον μετέχοντα τῆς ψυχικῆς δυνάμεως τοῦ φυτοῦ (τῆς θρεπτικῆς καὶ αὐξητικῆς δυνάμεως) καὶ τῆς ψυχικῆς δυνάμεως τοῦ ζώου (τῆς φανταστικῆς καὶ ὁρμητικῆς) (I. 432 λβ') καὶ τὸ παθητικὸν αὐτοῦ μέρος τό τε ἐπιπειθὲς λόγῳ (ἐπιθυμητικόν, θυμικόν, ψυχὴ ζώου) καὶ τὸ μὴ ἐπι-

πειθὲς λόγῳ (αὐξάνειν, ὑγιαίνειν, ψυχὴ φυτοῦ) ὡς φυσικῶς ἀνῆκον τῇ ψυχῇ (II, lib. amb. 1766).—Ταῦτα κατὰ τὸν Διον. λαμβάνοντα ταῦτα ἐκ τοῦ Ἀριστοτέλους, καθ' ὃν ἑκάστη βαθμὶς ἐν τῇ ἓν ὅλον διηρθρωμένον ἀποτελούσῃ φύσει περιέχει τοὺς χαρακτῆρας τῆς προηγουμένης βαθμῖδος καὶ συνενοῖ μετ' αὐτῶν τὴν ἰδίαν αὐτῆς δύναμιν (Παράβαλε Κανάκη Διον. der Areop. uach s. char als Phil bargestelit 23. 32).

Καὶ διὰ τοῦτο ὁ Μ. ὁρίζων τὰ πάθη «*κινήσεις ψυχῆς παρὰ φύσιν*» (I 411 ιστ'.) φύσιν ἐννοεῖ τὴν φυσικὴν κίνησιν τῶν ἐμφύτων παθῶν καὶ τῶν δυνάμεων τῆς ψυχῆς. Πάθη ψεκτά εἰσιν οὐχὶ τὰ ἔμφυτα πάθη, ταῦτα «*οὐκ ἔχουσι διαβολὴν*» (I. 555 η'. Παράβαλε καὶ Πλωτ. III, 8, 6 I, 2, 5.), ἀλλὰ ταῦτα, ὅταν χωρὶς λόγου παρὰ φύσιν κινῶνται (ὁμοίως καὶ οἱ Στωϊκοὶ παράβ. Cic Fin III 7, 23). Ὁμοίως κακίαι εἰσὶν οὐχὶ ἡ φυσικὴ κίνησις τῶν δυνάμεων τῆς ψυχῆς, ἀλλ' ἡ παρὰ φύσιν, ἡ παράχρησις αὐτῶν· οὕτω τοῦ λόγου ἡ ἀφροσύνη, τοῦ ἐπιθυμητικοῦ ἡ ἀκολασία καὶ τοῦ θυμοῦ τὸ μῖσος. Ἡ κατὰ φύσιν κίνησις, ἡ χρῆσις θυμοῦ καὶ ἐπιθυμίας ἐστὶν ἡ ὑποταγὴ αὐτῶν τῷ λόγῳ (I. 571 νδ'.). Ἡ χρῆσις τῶν δυνάμεων τῆς ψυχῆς ἐστὶ φρόνησις, ἀγάπη καὶ σωφροσύνη (I. 427 γ'. παραβ. II. 172.). Ἡ παρὰ φύσιν αὕτη κίνησις προέρχεται ἐκ τῆς ἐσφαλμένης κρίσεως τῶν νοημάτων καὶ ἔχει ὡς συνέπειαν τὴν παράχρησιν τῶν πραγμάτων καὶ διὰ τοῦτο ὀνομάζει ὁ Μ. ὡς καὶ οἱ Στωϊκοὶ «*ἐσφαλμένας κρίσεις τῶν νοημάτων*» τὰ πάθη (I. 411 ιζ'. παραβ. Θεμ. de an. 197, 23 p.). Τῇ ἐσφαλμένῃ κρίσει ἢ ὡς ἀλλαχοῦ ὁ Μ. ὁρίζει τῷ πάθει τοῦ νοήματος (I. 411 ιε'.) ἐπακολουθεῖ ἡ παράχρησις τῶν πραγμάτων· «*οἷον ὡς ἐπὶ τῆς γυναικὸς ἡ ὀρθὴ κρίσις τῆς συνουσίας ὁ σκοπός ἐστι τῆς παιδοποιΐας*» (I. 411 ιε'.)· ἡ πορνεία οὖν ἐστὶ πάθος τοῦ νοήματος, ἐ-

σφαλμένη κρίσις καὶ ὡς ἐκ τούτου παράχρησις τῆς συνουσίας.

Ἀλλὰ καὶ ἡ πενταπλῆ διαίρεσις τῆς φύσεως, καθ' ἣν πρῶτον ἡ πᾶσα κτιστὴ φύσις ἡ διὰ γενέσεως τὸ εἶναι λαβοῦσα χωρίζεται τῆς ἀκτίστου φύσεως τοῦ Θεοῦ, δεύτερον ἡ πᾶσα κτίσις διαιρεῖται εἰς αἰσθητὰ καὶ νοητά, τρίτον ἡ αἰσθητὴ εἰς οὐρανὸν καὶ γῆν, τέταρτον ἡ γῆ εἰς παράδεισον καὶ οἰκουμένην, πέμπτον ὁ ἄνθρωπος εἰς ἄρσεν καὶ θῆλυ (amb lib 224α), ἔστιν οὐχὶ ἡ ἀρχική. Ἡ ἀρχικὴ διαίρεσις περιεῖχε μόνον τὰς δύο πρώτας διαιρέσεις, αἱ λοιπαὶ τρεῖς διαιρέσεις, εἰσὶν ἀποτέλεσμα τῆς ἁμαρτίας. Ὁ Μ. ὅμως θεωρεῖ ταύτας τὰς διαιρέσεις φυσικὰς καὶ τὴν ἄρσιν τούτων ὡς τὸν ἀρχικὸν σκοπὸν τοῦ ἀνθρώπου.

Κατὰ τὸν Μ. οὖν δέον διακρῖναι ἀρχικὴν φυσικὴν κατάστασιν τοῦ κόσμου καὶ τοῦ ἀνθρώπου καὶ ἑτέραν φυσικὴν κατάστασιν τοῦ κόσμου καὶ τοῦ ἀνθρώπου μετὰ τὴν πτῶσιν. Ἡ πρώτη ἐστὶν ἰδανική, διότι ὁ Θεὸς προγνοὺς τὴν ἁμαρτίαν ἐποίησε τὸν ἄνθρωπον καὶ τὸν κόσμον οὕτως, ὡς νῦν εἰστίν (amb. lib. 134α παρ. Γρηγ. Νύσσης Harnack D. G. II 149 f.).



4. Ὁ κόσμος πρὸς παιδαγωγίαν τοῦ ἀνθρώπου.

Εἰ καὶ ἡ κατάστασις τοῦ κόσμου οὐχὶ ἡ ἀρχική, οὐχὶ ἡ φυσική ἐστίν, ἀλλ' ἀποτέλεσμα τῆς ἁμαρτίας, ἔστιν ὅμως πρὸς παιδαγωγίαν τοῦ ἀνθρώπου. Οὕτω τὸ φθαρτὸν τῆς φύσεως ἔχει σκοπόν, ἵνα ὁ ἄνθρωπος τῷ πάσχειν καὶ κακοῦσθαι δι' αὐτῆς εἰς συναίσθησιν ἑαυτοῦ καὶ τοῦ οἰκείου ἀξιώματος ἔλθῃ καὶ ἀσπασίως καταδέξηται τὴν πρὸς τὸ σῶμα καὶ αὐτὴν ἀποδιάθεσιν (amb. lib. 134α). Ὁμοίως ἡ ὀδύνη ἐστί τιμωρία γενικῶς τῆς ἀνθρωπότητος

διὰ τὴν πρὸς τὰ αἰσθητὰ παρὰ φύσιν τροπὴν αὐτῆς καὶ εἰδικῶς ἑκάστου ἀνθρώπου διὰ παρόντα ἢ προγεγονότα ἁμαρτήματα αὐτοῦ, ἀλλὰ συνάμα καὶ πρὸς παιδαγωγίαν αὐτοῦ. Ὁ Θεὸς βούλεται ἀποξέων τὸν ἰὸν τῆς προλαβούσης ἡδονῆς διὰ τῶν «*πόνων τῆς ψυχῆς μῖσος ἡμῖν ἐμποιῆσαι πρὸς τὰ παρόντα καὶ μόνην τὴν αἴσθησιν σαίνοντα, ὡς μηδὲν τιμωρίας πλέον ὡς κέρδος κεκτημένα κατὰ τὴν χρῆσιν*». (I. 57 58.) Καὶ ὁ τρόπος τῆς γεννήσεως τοῦ ἀνθρώπου ἐστὶ τοῦτο μὲν ἀποτέλεσμα τῆς ἁμαρτίας, τιμωρία αὐτῆς (παραβ. amb. lib. 238β.), σύναμα ὅμως καὶ πρὸς παιδαγωγίαν τοῦ ἀνθρώπου. Αὕτη ἔχει τέλος «*τὴν τοῦ παιδαγωγουμένου διόρθωσιν καὶ πρὸς τὸν λόγον τῆς αὐτοῦ γενέσεως τελείαν ἐπάνοδον*» (amb. lib. 227α).

Ἡ διάταξις τοῦ Κόσμου οὐχὶ ἡ ἀρχικὴ ἡ πρέπουσα, ὁ Θεὸς γὰρ ἀγαθὸς ὢν «*οὐ δεδώρηται προηγουμένως ταύτην τὴν ζωὴν τῷ ἀνθρώπῳ*» (anb. lib. 158α.), ἡ διάταξις ὅμως αὕτη σκοπεῖ τὴν ἐπάνοδον τοῦ ἀνθρώπου ἐκ τοῦ παρὰ φύσιν εἰς τὸ κατὰ φύσιν. Ὁ κόσμος οὐχὶ ὁ κάλλιστος ἀπολύτως, ἀλλ' ὁ σκοπιμώτατος διὰ τὸν ἁμαρτήσαντα ἄνθρωπον.

Ὁ κόσμος καὶ κατ' ἄλλην ὄψιν ἐστί πρὸς παιδαγωγίαν τοῦ ἀνθρώπου καὶ συντελεῖ πρὸς τὴν ἐπάνοδον αὐτοῦ πρὸς τὸ ἀρχικὸν αὐτοῦ τέλος τὸν Θεόν. Ὁ αἰσθητὸς κόσμος οὐκ ἔστι ἐκτὸς τοῦ Θεοῦ, ἀλλ' ἀπήχημα τῆς θείας μεγαλειότητος. «*Ἐν τῷ αἰσθητῷ κόσμῳ κατὰ Μ. οἱ τύποι τοῦ νοητοῦ εἰσὶ καὶ ὁ νοητὸς κόσμος ὅλος ὅλῳ τῷ αἰσθητῷ τοῖς συμβολικοῖς εἴδεσι τυπούμενος φαίνεται* (II. 497)»· «*Δύνανται οὖν οἱ λόγοι οἱ ἐν τῷ αἰσθητῷ κόσμῳ τὸν ἀνθρώπινον νοῦν ἐποχούμενον αὐτοῖς πρὸς Θεὸν ἀπλανῶς διαπορθμεύειν*» (I. 133).



5. Ἄνοδος πρὸς τὸν Θεόν.
α'. ἡ πρακτικὴ φιλοσοφία.

Τὸ τέλος τοῦ ἀνθρώπου καὶ μετὰ τὴν πτῶσίν ἐστιν ἡ ἕνωσις μετὰ τοῦ Θεοῦ, ἡ θέωσις τοῦ ἀνθρώπου, ἡ ἐνανθρώπησις τοῦ Θεοῦ. Ἀλλ' ἡ ἀγαπητικὴ δύναμις αὐτοῦ ἐστὶν ἐστραμμένη πρὸς τὴν αἴσθησιν καὶ ἕνεκα τούτου ὁ ἄνθρωπός ἐστι πλήρης παθῶν. Δέον οὖν τὸν ἄνθρωπον τῶν παθῶν ἀπαλλαγῆναι καὶ τὸ φυσικὸν κάλλος τὸ ἀμαυρωθὲν διὰ τῶν παθῶν ἐπαναλαβεῖν, ἵνα οὕτως ὡς κάτοπτρον καθαρὸν τὸν Θεὸν εἰσδέξηται (I. 397 ιδ') Ἀλλὰ καὶ μετὰ τὴν κάθαρσιν ταύτην οὐ δύναται ὁ ἄνθρωπος ἀμέσως τὸν Θεὸν αὐτὸν ἰδεῖν καὶ ἀπολαῦσαι· μέσον γὰρ αὐτοῦ καὶ τοῦ Θεοῦ ἵσταται ὁ αἰσθητὸς καὶ νοητὸς κόσμος καὶ μόνον μέσον τούτων δύναται πρὸς τὸν Θεὸν ἀνελθεῖν. Τὴν ἀπαλλαγὴν τῶν παθῶν κατορθοῦμεν διὰ τῆς πρακτικῆς φιλοσοφίας, τὴν βαθμιαίαν πρὸς τὸν Θεὸν ἄνοδον διὰ τῶν αἰσθητῶν καὶ νοητῶν κατορθοῦμεν διὰ τῆς φυσικῆς θεωρίας.

Ἡ πρακτικὴ φιλοσοφία ἐστὶν ἡ ἀποβολὴ τῆς κατὰ σάρκα στοργῆς (amb. lib. 159δ), ἡ «*ἀπόθεσις τῆς αἰσθητικῆς οὐσίας πρὸς τὴν αἰσθητὴν φύσιν, ἡ παντελὴς ἀποτίναξις τῆς αἰσθήσεως μετὰ τῶν αἰσθητῶν κατὰ τὴν ἐν διαθέσει σχετικὴν ἐνέργειαν*» (amb. lib. 176). Ἡ πρακτικὴ φιλοσοφία ἔχει ἀρνητικὸν χαρακτῆρα διὰ ταύτης κατορθοῦμεν τὴν ἀποβολὴν τῶν παρὰ φύσιν, τὴν ἀποβολὴν τῶν παθῶν. Αὕτη ἐστὶ κάθαρσις τῆς φύσεως ἐκ τῶν παρὰ φύσιν. Καὶ ὁ Διον. θεωρεῖ ὡς πρώτην βαθμῖδα τῆς μυστικῆς μετὰ Θεοῦ ἑνώσεως τὴν κάθαρσιν (de eccl. hier. 6, 3, 5 παραβ. ἠθικὴν Νεοπλατωνικῶν ἐν Uberwegs Grundriss der G. d. Ph. I. 322)-Τὰ πάθη ἀποβάλ-

λομεν, ἂν παύσωμεν παραχρώμενοι τοῖς ἐμφύτοις πάθεσι ταῖς δυνάμεσι τῆς ψυχῆς καὶ τοῖς πράγμασιν, ἢ γενικῶς, ἂν ὀρθῶς νοῶμεν. Τοῦτο δυνάμεθα διὰ τοῦ λόγου, ὅστις «*διδάσκει τὸ κατὰ φύσιν, διαβάλλει δὲ τὸ παρὰ φύσιν κακὸν*» (I. 541 λστ'.)· «*ὁ Θεὸς γὰρ δοὺς τῷ ἀνθρώπῳ κατὰ φύσιν τὸν εἰς αὐτὸν πόθον καὶ ἔρωτα, συνέπλεξεν αὐτῷ φυσικῶς τοῦ λόγου τὴν δύναμιν ἐφ' ᾧ δυνηθῆναι μετὰ ῥαστώνης γνῶναι τοὺς τρόπους τῆς τοῦ πόθου πληρώσεως καὶ μὴ παρασφαλέντας διαμαρτεῖν, οὐ τυχεῖν ἀγωνιζόμεθα*» (I. 634 ρ'.).

Τὸ τέλος τῆς πρακτικῆς φιλοσοφίας ἐστὶν ἡ ἀπάθεια. «*Ἀπάθειά ἐστιν εἰρηνικὴ κατάστασις τῆς ψυχῆς, καθ' ἣν δυσκίνητος γίνεται ἡ ψυχὴ πρὸς κακίαν*» (I. 399 λστ'.) «*Σημεῖον ἄκρας ἀπαθείας τὸ ψιλὰ τὰ νοήματα τῶν πραγμάτων ἀναβαίνειν ἐπὶ τὴν καρδίαν τοῦ ἀνθρώπου καὶ ἐγρηγορότος τοῦ σώματος καὶ κατὰ τοὺς ὕπνους*» (I. 407 ηγ'.)· ὅταν «*αἱ παθητικαὶ δυνάμεις ἐν τῇ τῶν πραγμάτων καὶ τῶν ἐν αὐτοῖς νοημάτων προσβολῇ ἀπαθεῖς διαμένωσιν*» (432, λε').

Συνέπεια φυσικὴ τῆς ἄρσεως τῆς παρὰ φύσιν κινήσεως τῆς ψυχῆς ἐστὶν ἡ κατὰ φύσιν κίνησις αὐτῆς· τῆς παραχρήσεως τῶν δυνάμεων αὐτῆς ἡ χρῆσις αὐτῶν ἡ ὀρθή, τῆς ἀσθενείας τῆς ψυχῆς ἡ ὑγεία αὐτῆς. Συνέπεια τῆς ἀφαιρέσεως τῶν παρὰ φύσιν ἐκ τῆς ψυχῆς, τῆς καθάρσεως αὐτῆς ἐστὶν ἡ ἐπάνοδος αὐτῆς εἰς τὴν ἀρχικὴν φυσικὴν κατάστασιν, ἡ ἀνάληψις τῆς φυσικῆς καθαρότητος καὶ λαμπρότητος, «*ὥσπερ καὶ συνέπεια τῆς ἀποβολῆς τοῦ ἰοῦ ἡ διαφάνεια τῆς κατὰ φύσιν αὐγῆς καὶ λαμπρότητος τοῦ σιδήρου*».


Ἡ κατὰ φύσιν κίνησις αὕτη τῆς ψυχῆς, ἡ ὀρθὴ χρῆσις τῶν δυνάμεων τῆς ψυχῆς (II. 172), ἡ ὑγεία τῆς ψυχῆς (I.

450 μστ'. παράβαλε Διογ. 115 Στοβ. II. 182 Plut. vert mor 2 : «*Ἀρίστων ἀρετὴν ὑγείαν ὠνόμαζεν*»), ἡ ἀρχικὴ κατάστασις τῆς ψυχῆς ἐστὶν ἡ ἀρετή.-Παράβαλε τὴν στωϊκὴν διδασκαλίαν : ἀρετὴ διάθεσις ψυχῆς σύμφωνος αὐτῇ (Στοβ. II. 140) διάθεσις ὁμολογουμένη (Διογ. 89 παραβ. Πλωτ. I. 6, 6, 55 c.) Γενικὰς ἀρετὰς θεωρεῖ ὁ Μ, ὡς εἴδομεν, τὰς ἐκ τῆς ὀρθῆς κινήσεως τῶν τριῶν δυνάμεων τῆς ψυχῆς προερχομένας φρόνησιν ἀγάπην καὶ σωφροσύνην καὶ ταῖς τρισὶ γενικαῖς κακίαις ταῖς ἐκ τῶν παραχρήσεων τῶν εἰρημένων δυνάμεων προερχομέναις ἀφροσύνῃ, μίσει καὶ ἀκολασίᾳ ἀντιτιθεμένας. Ὁ Μ. ὅμως γινώσκει καὶ τὰς τέσσαρας ἀρετὰς κατὰ Πλάτωνα ἀντικειμένας ταῖς ἰσαρίθμοις κακίαις κατὰ τὸν αὐτὸν φρόνησιν, ἀνδρείαν, σωφροσύνην καὶ δικαιοσύνην (I. 422 οθ'.). Τὴν ἀνδρείαν ταυτίζει τῇ ὑπομονῇ (παραβ. «*καρτερίαν Ἀριστοτέλους* überweg G. d. Phil I. 231)· *διὰ ταύτης ὁμαλίζομεν τὰς συμφορὰς τῶν ἀκουσίων πειρασμῶν, ἤγουν τοὺς τρόπους τῆς ὀδύνης*» (I. 548 νη'.)· διὰ ταύτης «*ἀποβάλλομεν τὸ κατ' ὀδύνην παθητόν, καθ' ὃ ἀπορρέποντες τῆς ὀδύνης διὰ τῆς δειλίας διὰ παντὸς φόβῳ θανάτου καὶ παρὰ γνώμην τυραννούμενοι τῆς καθ' ἡδονὴν ἀντεχόμεθα δουλείας*» (I. 41). Διὰ τῆς σωφροσύνης ἢ ἐγκρατείας εὐθύνομεν τὰ κινήματα τῆς ἡδονῆς· διὰ ταύτης ἀποβάλλομεν τὸ καθ' ἡδονὴν παθητὸν ἤτοι τὴν γνωμικὴν συγκατάθεσιν τῶν καθ' ἡδονὴν παθῶν (I. 41). Διὰ τῆς ὑπομονῆς καὶ ἐγκρατείας κατορθοῦται τὸ ἴδιον τοῦ ἐπουρανίου ἀνθρώπου, «*σωματικὴν ἡδονὴν μὴ ἐφίεσθαι καὶ ὀδύνην παντελῶς μὴ φοβεῖσθαι*» (I. 521 να'). Τούτου φυσικὴ συνέπειά ἐστιν ἡ ἀγάπη, διότι τὸ μῖσος, ὡς εἴδομεν, μόνον ἕνεκα τῆς ὁρμῆς πρὸς ἡδονὴν καὶ ἀποφυγῆς τῆς ὀδύνης προέρχεται. Τὴν δικαιοσύνην θεωρεῖ ὁ Μ. κατὰ Πλάτωνα, ὡς ἀπονομὴν ἑκάστῳ τῶν

ἐν ἡμῖν μερῶν τὰ κατ' ἀξίαν, οἷον τῷ λογιστικῷ ἀναγνώσματα καὶ θεωρήματα πνευματικὰ καὶ προσευχήν, τῷ θυμικῷ ἀγάπην πνευματικήν, τῷ ἐπιθυμητικῷ ἐγκράτειαν, τῇ σαρκὶ διατροφὴν καὶ σκεπάσματα τὰ μόνα ἀναγκαιότερα (I. 449 μδ'). Κατὰ τὴν ἔννοιαν τῆς ἀρετῆς ὡς χρήσεως τῶν δυνάμεων τῆς ψυχῆς ἡ ὑπομονὴ ἢ ἀνδρεία ἐστὶν ὀρθὴ χρῆσις τοῦ θυμικοῦ, ἡ δικαιοσύνη τοῦ κριτηρίου (II. 172). Ἀλλαχοῦ ὁ Μ. θεωρεῖ ὡς τὴν γενικωτάτην τῶν ἀρετῶν τὴν ἀγάπην πρὸς τὸν πλησίον καὶ ὀνομάζει τὸν λόγον «*τὴν γενικωτάτην τῆς φύσεως δύναμιν ποιητικὴν τῆς* «*ἀγάπης*» (I. 190). Διὰ ταύτης αἴρεται ἡ νῦν κρατοῦσα τῆς φύσεως διὰ τῆς φιλαυτίας διαίρεσις καὶ ἐπανέρχεται τὸ κατὰ φύσιν, ὅπερ ἐστὶν «*ἡ γνωμικὴ πάντων πρὸς πάντας ὁμόθυμος σχέσις.*» (I. 612 ι'.) Ἀγάπη ἐστὶν ἡ ἀρετή, θεωρουμένου τοῦ ἀνθρώπου ἐν σχέσει πρὸς τὸν πλησίον. Τὴν ἀρετὴν θεωρεῖ ὁ Μ. κατὰ τὸν Ἀριστοτέλη καὶ ὡς μεσότητα μεταξὺ ὑπερβολῆς καὶ ἐλλείψεως, ὑπερβολὴν θεωρῶν τὴν κίνησιν ὑπὲρ τὸ μέτρον καὶ τὸν λόγον, ἔλλειψιν δὲ τὴν κίνησιν παρὰ τὸ μέτρον καὶ τὸν λόγον· ἡ ἀρετὴ κεῖται ἐν τῷ μέσῳ· κίνησις γὰρ κατὰ τὸν λόγον ἐστὶν ἤτοι κατὰ τὸν ὅρον καὶ τὸ μέτρον τοῦ ἀνθρώπου. Τὴν ἀρετὴν θεωρεῖ ὁ Μ. ὡς αὐτάρκη πρὸς εὐδαιμονίαν· (amb. lib. 166α) Παραβ. διδασκαλίαν Στωϊκῶν: αὐτάρκη εἶναι τὴν ἀρετὴν πρὸς εὐδαιμονίαν. Διογ. VII. 127. Τὰ ἐκτὸς ἀγαθὰ καὶ τὰ τοῦ σώματος ποιοῦσι τὸν ἄνθρωπον μακάριον μόνον μετὰ τῆς ἀρετῆς συνημμένα. Ἡ μακαριότης ὅμως μένει, καὶ ἂν ταῦτα οὐχ ὑπάρχωσιν, ὡς ὁ σωρὸς μένει σωρός, κἂν δύο μεδίμνους ἀφέλῃς (amb. lib. 166α). Τὴν ἀρετὴν θεωρεῖ ὁ Μ. «*ὡς μὴ δυναμένην ὅλην διὰ σώματος ἐκφανῆναι. Χαρακτὴρ γὰρ θείας δυνάμεως ὑπάρχουσα οὐ χωρεῖται σώματι, ἀλλά τινα τῶν αὐτῆς σκιάσματα καὶ τοῦτο οὐ δι' ἑαυτήν· εἰ γὰρ μηδεὶς ἦν*

ὁ εὖ παθεῖν δεόμενος ἢ πρὸς ἀρετὴν παραδείγματι τυπωθῆναι ὀφείλων ἕκαστος ἀρκεῖ ἑαυτῷ πάντως ταῖς κατὰ ψυχὴν τῶν ἀρετῶν χάρισιν ἁβρυνόμενος.» Θεωρεῖ οὖν ὁ Μ. τὴν ἀρετὴν ὡς «*κρυπτομένην τῷ βάθει τῆς ψυχῆς διάθεσιν*» μὴ ἔχουσαν ἀνάγκην καθ' ἑαυτὴν «*τῆς πρὸς τὸ ἐμφανὲς διὰ τοῦ σώματος ἀποδείξεως*» (amb lib. 1366). «*Καρποῦται ὁ φρόνιμος τὸ ἀγαθὸν καὶ πράττων οὐχ ὅτι πράττει οὐδὲ ἐκ τῶν συμβαινόντων, ἀλλ' ἐξ οὗ ἔχει*» καὶ κατὰ Πλωτῖνον 1, 5, 10, 45 Ι. ὁμοίως καὶ κατὰ τοὺς Στωϊκούς).

Εἴδομεν ὅτι ὁ Μ. θεωρεῖ ὡς τὸν ἀρχικὸν σκοπὸν τοῦ ἀνθρώπου τὴν ἄρσιν τῶν διαιρέσεων τῶν ἐν τῷ κόσμῳ (ἐδ. 3.) Ἡ ἄρσις αὕτη τῶν διαιρέσεων, αἵτινες ἀποτέλεσμα τῆς πτώσεώς εἰσιν, ἔστιν ἐξ ἀνάγκης ὁ σκοπὸς τοῦ ἀνθρώπου μετὰ τὴν πτῶσιν. Διὰ τῆς βαθμιαίας ἄρσεως τῶν διαιρέσεων ἀνερχόμεθα πρὸς τὸν Θεόν. Κατὰ ταύτην τὴν ἔννοιαν ἀντιστοιχεῖ τῇ πρακτικῇ φιλοσοφίᾳ πρῶτον ἡ ἄρσις τῆς κατὰ τὸ ἄρρεν καὶ θῆλυ ἰδιότητος «*τῇ περὶ τὴν θείαν ἀρετὴν ἀπαθεστάτῃ σχέσει*» διὰ τῆς ἀγαμίας καὶ δεύτερον ἡ ἄρσις τῆς διαφορᾶς παραδείσου καὶ οἰκουμένης διὰ τῆς ἁγιοπρεποῦς ἀγωγῆς. Διὰ τῆς ἄρσεως τούτων ἀναλαμβάνομεν τὴν πρώτην φυσικὴν κατάστασιν ἐν παραδείσῳ. Ἐνταῦθα παρατηροῦμεν ὅτι, εἰ καὶ ὁ Μ. τὴν *ἀγαμίαν οὐ κατ' ἐντολὴν* θεωρεῖ «*ἀλλὰ καθ' ἑκούσιον προσφορὰν ὑφ' ἡμῶν πραττόμενον*» (Ι, 453 ξζ'.)«*καὶ τὸν γάμον ὡς οὐκ ἔχοντα διαβολήν*» (Ι, 555, 90), θεωρεῖ ὅμως τὴν ἀγαμίαν ὡς κατάστασιν μᾶλλον ἐμπρέπουσαν τῷ ἀνθρώπῳ, ὡς ἀρχικῶς φυσικὴν κατάστασιν αὐτοῦ.



Θ. β'. Ἡ φυσικὴ θεωρία.

Μετὰ τὴν πρακτικὴν φιλοσοφίαν ἔρχεται ἡ θεωρητικὴ φιλοσοφία, μετὰ τὴν κάθαρσιν ὁ φωτισμός, μετὰ τὴν πρᾶξιν ἡ θεωρία, μετὰ τὴν ἀρετὴν ἡ γνῶσις (II, 501 502). Καὶ ὁ Διον. θεωρεῖ ὡς δεύτερον στάδιον τῆς μυστικῆς ἑνώσεως μετὰ τοῦ Θεοῦ τὸν φωτισμόν (eccl. hier. 6, 3, 5).

Ὅρος τῆς φυσικῆς θεωρίας ἐστὶν ἡ ἀπάθεια· τὰ νοήματα τὰ ἐκ τοῦ αἰσθητοῦ κόσμου ἐρχόμενα δέον ἁπλᾶ εἶναι τ. ε. χωρὶς πάθους, τότε δύνανται τοὺς ἐν τοῖς αἰσθητοῖς ἐγκεκρυμμένους λόγους ἡμῖν φανερῶσαι. «*Καλόν ἐστιν*, λέγει ὁ *Μ. πρὸ τῆς τελείας ἕξεως μὴ ἅπτεσθαι τῆς φυσικῆς θεωρίας, ἵνα μὴ λόγους ἐπιζητοῦντες πνευματικοὺς ἐκ τῶν ὁρωμένων κτισμάτων λάθωμεν πάθη συλλέγοντες· πλέον γὰρ ἐν ταῖς ἀτελέσι δυναστεύει πρὸς τὴν αἴσθησιν τὰ φαινόμενα σχήματα τῶν ὁρωμένων ἢ πρὸς τὴν ψυχὴν οἱ ἐγκεκρυμμένοι τοῖς σχήμασι λόγοι*» (I, 124). Καὶ κατ' ἄλλην ὄψιν ἐστὶν ἡ ἀπάθεια ὅρος τῆς φυσικῆς θεωρίας. Διὰ τῆς ἀπαθείας γίνεται ἡ ψυχὴ καθαρά, ἀναλαμβάνει τὴν πρώτην φυσικὴν αὐτῆς κατάστασιν καὶ οὕτως δύναται τὴν φυσικὴν ἐνέργειαν αὐτῆς ἀναλαβεῖν.

Αὕτη ἡ φυσικὴ ἐνέργειά ἐστι κυρίως ἡ ἄμεσος γνῶσις τοῦ Θεοῦ, ἀλλ' αὕτη οὐκ ἔστι δυνατὴ μετὰ τὴν πτῶσιν· μεταξὺ γὰρ Θεοῦ καὶ ἀνθρώπου κεῖται ὁ αἰσθητὸς καὶ νοητὸς κόσμος. Μετὰ τὴν πτῶσιν φυσικὴ ἐνέργεια τῆς ψυχῆς ἐστὶν ἐκ τοῦ αἰσθητοῦ πρὸς τὸν νοητὸν κόσμον διαβῆναι καὶ ἐκ τούτου πρὸς τὸν Θεόν, ἤτοι ἡ φυσικὴ ἐνέργεια τοῦ ἀνθρώπου μετὰ τὴν πτῶσίν ἐστιν ἡ

ἀντίστροφος τῇ ἀρχικῇ· *«ὁ ἄνθρωπος ἔδει τὸν περὶ Θεοῦ κρείττονα καὶ ὑψηλότερον λόγον μυηθῆναι καὶ οὕτως ὕστερον τοὺς ἥττονας τῶν γεγονότων»* (Ι, 91), νῦν ὅμως ἐκ τῶν ἡττόνων ἀνέρχεται πρὸς τὰ κρείττονα. Οὐχὶ διὰ τῆς ἐνεργείας τοῦ νοῦ ἄρχεται ἡ φυσικὴ ἐνέργεια νῦν, ἀλλὰ διὰ τῆς ἐνεργείας τῆς αἰσθήσεως καὶ καταλήγει εἰς τὴν ἐνέργειαν τοῦ νοῦ.

Πρῶτον στάδιον τῆς φυσικῆς θεωρίας ἐστὶν ἡ ἐνέργεια τῆς αἰσθήσεως. Κατὰ τὸν Μ. *«οὐκ ἔστι δυνατὸν πρὸς τὰ συγγενῆ νοητὰ διαβῆναι δίχα τῆς τῶν διαμέσου προβεβλημένων αἰσθητῶν θεωρίας·»* τοῦτο γίνεται διὰ τῆς αἰσθήσεως *«τῆς συγγενοῦς τοῖς αἰσθητοῖς καὶ κατὰ φύσιν»* (Ι, 584 ιστ'.) Ἀλλὰ πρὸς τὴν διάβασιν πρὸς τὸν νοητὸν κόσμον ἀναγκαῖος καὶ ὁ λόγος. *«Ὁ λόγος ἐστὶ τὸ ὄργανον τὸ συλλεγόμενον ὅλην ἐπιστημόνως τὴν νοητῶς ἐν τοῖς οὖσιν ἀπαστράπτουσαν τῆς θείας ἀγαθότητος ἔμφασιν»* (Ι. 13.). Διὰ τοῦ λόγου οὖν ὁρῶμεν ἐν τῷ αἰσθητῷ κόσμῳ τὸν νοητὸν κόσμον, διὰ τούτου ἡ αἴσθησις γίνεται ἄγγελος *«τοὺς ἐν τοῖς οὖσι τῇ ψυχῇ διαγγέλλουσα λόγους»* (amb. lib. 1406). Τοῦτο τὸ στάδιον ἀναλογεῖ τῇ εὐθείᾳ κινήσει τοῦ Διον (de div nom. 4, 9. Παραβ, Κανάκη διατριβὴν 10, 11).

Μετὰ ταῦτα ἄρχεται τὸ δεύτερον στάδιον τῆς φυσικῆς θεωρίας ἡ ἐνέργεια τοῦ λόγου. Κατὰ Μ. ὡς καὶ κατὰ Πλάτωνα οἱ λόγοι εἰσὶ συστηματικῶς διηρθρωμένοι καὶ εὑρίσκονται ἐν σχέσει ὑπεραλληλίας καὶ ὑπαλληλίας· ὑπὲρ τὰ ἄτομά εἰσι τὰ εἴδη, ὑπὲρ ταῦτα τὰ γένη καὶ ὑπὲρ ταῦτα γενικώτεροι λόγοι, οἵτινες *«ἑνοῦσι τὰ ταῖς οἰκείαις διαφοραῖς ἀλλήλων διακεκριμένα καθόλου καὶ κοιναῖς γενικῶς ταυτότησι καὶ ὅλοι ὅλοις τοῖς ὑπ' αὐτὸ ἀδιαιρέτως ἑνικῶς ὑπάρχουσιν»* (amc. lib. 224α 6)—παραβ. Phil der Kirchenväter von Huber 348. Ἡ ἐνέργεια οὖν τοῦ λόγου ἐστὶν ἡ ἐπεξεργασία τῶν λόγων, ἡ διάταξις

αὐτῶν, ἡ κατάταξις τῶν μερικῶν ὑπὸ τοὺς γενικούς, τῶν γενικῶν ὑπὸ τοὺς γενικωτέρους καὶ τέλος ἡ ἑνότης πάντων ὑπὸ ἕνα λόγον τὴν φρόνησιν, ἐν ᾧ πάντες οἱ λόγοι ἐνυπάρχουσιν. Τὸ τέλος οὖν τῆς ἐνεργείας ταύτης ἐστί «*μία ἁπλῆ καὶ ἀδιαίρετος φρόνησις*» (amb. lib. 139α)—Τοῦτο τὸ στάδιον ἀναλογεῖ τῇ ἑλικοειδεῖ κινήσει τοῦ Διον. (de div nom. 4, 9). τοῦτό ἐστιν ἡ διαλεκτικὴ τοῦ Πλωτίνου (ἴδε Zeller Griech. Phil Plotinus III, 2, 544). Διὰ ταύτης τῆς φρονήσεως αἴρονται πᾶσαι αἱ διαφοραί, τὰ διεστῶτα ἄγονται εἰς ἕν, ὁ ἐν τοῖς οὖσι καταλύεται πόλεμος καὶ τὰ πάντα πρὸς εἰρηνικὴν φιλίαν καὶ ἀδιαίρετον ὁμόνοιαν συνδέονται (amb. lib. 225α). Ταύτην τὴν φρόνησιν ὀνομάζει ὁ Μ. ἐν τῷ τελευταίῳ χωρίῳ σοφίαν (ὡς καὶ ὁ Πλωτῖνος· παραβ. ὡς ἀνωτέρω Zeller) καὶ διακρίνει ταύτης τὴν φρόνησιν ἰδίως, «*ὑφ' ἧς οἱ τῶν μερικῶν ποικίλως τοῖς τῶν γενικῶν ἐνισχημένοι λόγοι περιέρχονται.*»

Διὰ τῆς φυσικῆς θεωρίας ἰδίως διὰ τοῦ δευτέρου αὐτῆς σταδίου αἴρεται ἡ διαφορὰ οὐρανοῦ καὶ γῆς, αἰσθητῶν καὶ νοητῶν διὰ ταύτης «*ἀποδεικνύεται μία ὑπάρχουσα ἡ ἅπασα κτίσις ὥσπερ ἄνθρωπος ἄλλος ἀνακεφαλαιουμένη ἐν τῇ φρονήσει*» (amb. lib. 224α),

---

2. Ἡ ἐνανθρώπησις τοῦ Θεοῦ ἐν τῷ ἀνθρώπῳ.

Καὶ μετὰ τὴν θεωρίαν ἐστὶν ἀναγκαία ἡ πρᾶξις καὶ μετὰ τὴν γνῶσιν ἀναγκαία ἡ ἀρετή. Τὰ δύο ταῦτα δέον συνυπάρχειν·

ὡς ἄπρακτος γνῶσις φαντασία οὕτω καὶ πρᾶξις ἀλόγιστος εἴδωλόν ἐστιν· τὴν πρᾶξιν δέον θεωρίαν ἐνεργουμένην εἶναι καὶ τὴν θεωρίαν πρᾶξιν μυσταγωγουμένην· τὴν ἀρετὴν δέον φανέρωσις γνώσεως εἶναι καὶ τὴν γνῶσιν ἀρετῆς συντηρητικὴν δύναμιν. Διὰ τῶν δύο τούτων γίνεται κατὰ Μ. ὁ Θεὸς ἄνθρωπος καὶ ὁ ἄνθρωπος Θεός.

Κατὰ τὸν Μ. ἡ ἀλήθεια καὶ τὸ ἀγαθόν εἰσι δηλωτικὰ τοῦ Θεοῦ «*ἡ μὲν ἀλήθεια, ὅταν ἐκ τῆς οὐσίας τὸ θεῖον σημαίνεσθαι δοκῇ· ἁπλοῦν γὰρ καὶ μόνον καὶ ἓν καὶ ταὐτὸν καὶ ἀμερὲς καὶ ἄτρεπτον καὶ ἀπαθὲς πρᾶγμα ἡ ἀλήθεια καὶ ἀλάθητον καὶ παντελῶς ἀδιάστατον· τὸ δὲ ἀγαθόν, ὅταν ἐκ τῆς ἐνεργείας· εὐεργετικὸν γὰρ τὸ ἀγαθὸν καὶ προνοητικὸν τῶν ἐξ αὐτοῦ πάντων καὶ φρουρητικὸν* (II. 499, 500). Διὰ τοῦτο θεωρεῖ ὁ Μ. «*τοὺς τῶν ὄντων λόγους καὶ τοὺς κατ' ἀρετὴν τρόπους ὡς τύπους τοῦ Θεοῦ.*» Διὰ τῶν τύπων οὖν τούτων γίνεται κατὰ Μ. ὁ Θεὸς ἄνθρωπος καὶ ὁ ἄνθρωπος Θεὸς (I. 529 οη'.)· καὶ δὴ διὰ μὲν τῶν ἀρετῶν γίνεται ὁ ἄνθρωπος ὅμοιος τῷ Θεῷ κατὰ τὴν ἐνέργειαν, διὰ δὲ τῶν λόγων κατὰ τὴν οὐσίαν· τὰς μὲν ἀρετὰς ἔχει ὁ ἄνθρωπος γινόμενος Θεὸς ὡς σῶμα, τοὺς δὲ λόγους τῆς γνώσεως ὡς ψυχὴν (I 529 οη'.). Ὁ Θεός ἐστι τὸ πρωτότυπον, καθ' ὃ ὁ ἄνθρωπος ἀποβάλλων πᾶν ἀνῆκον αὐτῷ σχηματίζεται καὶ (πρβ. 518 κη') τυποῦται· πᾶν ὅ,τι ὁ ἄνθρωπος κατορθοῖ διὰ τῶν δύο εἰρημένων σταδίων «*ἡ νίκη καὶ ἡ σοφία, ἡ πρᾶξις καὶ ἡ θεωρία, ἡ ἀρετὴ καὶ ἡ γνῶσις, ἡ ἀγαθότης καὶ ἡ ἀλήθειά εἰσιν ἐκ Θεοῦ*»· ὁ ἄνθρωπός ἐστιν, οὕτως εἰπεῖν, κάτοπτρον τὴν δόξαν τοῦ Θεοῦ, τὸν Θεὸν διὰ τοῦ αὐτεξουσίου αὐτοῦ ἀντανακλῶν. Κατὰ ταύτην τὴν ἔννοιαν λέγει ὁ Μ. ὅτι «*ὁ Θεὸς πᾶσιν ἡμῖν ὡς ὀργάνοις ἐπιτελεῖ πρᾶξιν καὶ θεωρίαν μηδὲν ἡμῶν συνεισφερόντων τὸ σύνολον πλὴν*

τῆς θελούσης τὰ καλὰ διαθέσεως» (I. 151, 152). Τὸν Θεόν, ὡς τὸ ἀρχέτυπον, καθ' ὃ ἡμεῖς σχηματιζόμεθα, ὡς μετεχόμενον, ὡς ἀντικείμενον μεταδόσεως ὀνομάζει ὁ Μ. καὶ τὸν λόγον. Ὁ λόγος ἐστὶν ἡ οὐσία τῶν ὄντων (amb. lib 123α), ὁ λόγος ἐστὶν ἡ οὐσία τῶν ἀρετῶν (125β).

Ἀλλ' ἡ ἐνανθρώπησις αὕτη τοῦ Θεοῦ καὶ ἡ θέωσις τοῦ ἀνθρώπου ἐστὶ συμβολική. «*Πᾶσα γνῶσις ἐνταῦθα τῶν ὑψηλῶν αἴνιγμά ἐστιν ἔμφασιν τῆς ἀληθείας ἀλλ' οὐκ αὐτὴν ὑφισταμένην ἔχουσα τὴν ἀλήθειαν καὶ πᾶσα δικαιοσύνη ἐσόπτρου λόγον ἐπέχει»* (I. 102). Ὁ Κύριος ἐνδημεῖ μέν, ἀλλὰ κατὰ τὴν ἐν ἐσόπτρῳ καὶ αἰνίγματι θεωρίαν, κατὰ τὴν πρόσωπον πρὸς πρόσωπον ὅμως θεωρίαν ἀποδημεῖ (I. 197 νξ'.). Ὁ ἐνανθρωπιζόμενος Θεὸς κατὰ ταύτην τὴν ἔννοιάν ἐστιν ὁ Θεὸς κατὰ τὴν καταφατικὴν θεολογίαν. Κατὰ ταύτην «*πάντα εἶναι φαμὲν τὸν Θεόν, ὅσα ἐκ τῶν ποιημάτων ὡς αἴτιον ἐγνωρίσαμεν»* (amb. lib. 163α παραβ. de div nom 1, 6). Ὁ Θεὸς πάντα ἐστίν, ὅσα ἐστί· «*πάντα γὰρ τὰ ἠργμένα χρονικῶς μετοχῇ τῶν οὐκ ἠργμένων χρονικῶς εἰσι καὶ λέγονται τοῦθ' ὅπερ εἰσι καὶ λέγονται»* (I. 471 ν'.). Κατὰ ταύτην τὴν ἔννοιαν ὁ ἄνθρωπος ὡς φύσει ἐστίν, ἔστι μοῖρα Θεοῦ καὶ Θεός (amb. lib. 123β) καὶ πάντα, ὅσα ἔχει, μετοχῇ τοῦ Θεοῦ ἔχει. Διὰ τοῦ αὐτεξουσίου αὐτοῦ δέον τὸν ἄνθρωπον ταῦτα τηρῆσαι, δέον γνώμῃ τοῦτο γενέσθαι, ὅπερ φύσει ἐστίν. Τοῦτο κατορθοῖ ὡς εἴδομεν διὰ τῆς πρακτικῆς φιλοσοφίας διὰ ταύτης ὁ ἄνθρωπος ἀναλαμβάνει τὴν ἀρχικὴν αὐτοῦ φύσιν. Ἡ ἀνάληψις οὖν τῆς ἀρχικῆς φύσεώς ἐστιν ἡ ἐνανθρώπησις τοῦ Θεοῦ διὰ τῶν ἀρετῶν καὶ ἡ θέωσις τοῦ ἀνθρώπου, διότι ὁ ἄνθρωπος ἐν τῇ ἀρχικῇ αὐτοῦ φύσει θεός ἐστι καὶ ἡ φυσικὴ αὐτοῦ ἀγαθότης μετοχῇ τῆς ἀγαθότητος τοῦ Θεοῦ ἐστιν. Κατὰ τὴν καταφατικὴν θεολογίαν ὡσαύτως οἱ λόγοι οἱ ἐν

τῷ κόσμῳ εἰσὶν ὁ αὐτὸς εἷς λόγος, ὁ Θεός. Τοὺς λόγους οὖν τούτους ἐν ἡμῖν προσλαμβάνοντες μορφοῦμεν καὶ τυποῦμεν ἐν ἡμῖν τὸν Θεόν. Ἀλλὰ κατα τὸν Μ. ὡς καὶ κατὰ τὸν Διον. ὑπὲρ τὴν καταφατικὴν θεολογίαν ὑπάρχει ἡ ἀποφατικὴ θεολογία. Κατὰ ταύτην *«ὁ Θεὸς οὔτε λέγεται οὔτε νοεῖται οὔτε ἔστι τι τὸ σύνολόν τι τῶν ἄλλῳ συνεγνωσμένων ὡς ὑπερούσιος οὐδὲ ὑπό τινος οὐδαμῶς καθ, ὁτιοῦν μετέχεται»* (amb. lib. 1246). *οὐκ ἔστι γὰρ ἀκριβὴς ἐμφέρεια τοῖς αἰτιατοῖς καὶ τοῖς αἰτίοις, τὰ αἰτιατὰ ἔχει τὰς εἰκόνας τῶν αἰτίων, τὰ αἴτια τῶν αἰτιατῶν ἐξήρηται καὶ ὑπερίδρυται κατὰ τὸν τῆς οἰκείας ἀρχῆς λόγον»* (I. 625ξ στ'.). ἴδε de div nom 28. Κατὰ ταύτην ἐν τῷ Θεῷ ἐστι τι μὴ μεθεκτόν· *«πάντων γὰρ τῶν ὄντων καὶ μετεχόντων καὶ μεθεκτῶν ἀπειράκις ἀπείρως ὁ Θεὸς ὑπεξήρηται»* (I, 471 μθ'.παραβ. de div nom 5, 1). Κατὰ ταύτην οὖν τὴν ἀποφατικὴν θεολογίαν ὡς πᾶσα ἡ κτίσης ἔστι καὶ οὐκ ἔστιν ὁ Θεός, σύμβολον μόνον τοῦ Θεοῦ ἐστίν, οὕτω καὶ ὁ διὰ τῆς ἀρετῆς καὶ τῆς γνώσεως θεούμενος ἄνθρωπος σύμβολον τοῦ Θεοῦ ἐστίν. Ὡς πᾶσα ἡ κτίσις παρίστησιν τὸν Θεόν, ἀλλ' οὐχὶ τελείως, ὁ Θεὸς γὰρ κατὰ τὴν ἀποφατικὴν θεολογίαν ὑπὲρ ταύτην ἐστίν, οὕτω καὶ ὁ ἄνθρωπος παρίστησιν τὸν Θεὸν διὰ τῶν ἀρετῶν καὶ τῆς γνώσεως, ἀλλ' οὐχὶ τελείως· *«οἱ τρόποι γὰρ τῶν ἀρετῶν καὶ τῶν γνωσθῆναι φύσει δυναμένων οἱ λόγοι μόνον τύποι καὶ προχαράγματα τῶν ὑπὲρ αἰῶνας καὶ φύσει ἀγαθῶν* (I. 47), *οἷς τὰ θεῖα συνέχεται»* (I. 543 μη'.)—παράβ. Dorner Entwickelungs geschichte der lehre von der Person Christi 1853 II, 291).

Ἡ θέωσις αὕτη τοῦ ἀνθρώπου συμβαίνει διὰ τῆς ἀγάπης. *«Μέγα ἀγαθὸν ἡ ἀγάπη ὡς Θεὸν καὶ ἄνθρωπον δι' ἑαυτὸν τῇ περὶ τὸν αὐτὴν ἔχοντα συνάπτουσα καὶ ὡς ἄνθρω-*

πον τὸν ποιητὴν τῶν ἀνθρώπων φανῆναι παρασκευάζουσα διὰ τὴν τοῦ θεουμένου πρὸς τὸν Θεὸν κατὰ τὸ ἀγαθὸν ὡς ἐφικτὸν ἀνθρώπῳ ἀπαραλλαξίαν». (I,517 κθ'), *«διὰ τὴν μίαν καὶ ἀπαράλλακτον ἀμφοτέρων κατὰ τὸ θέλημα βούλησίν τε καὶ κίνησιν»* (κζ'). Τὸ μακάριον τοῦτο πάθος τῆς ἀγάπης *«συνδεσμεῖ τὸν νοῦν τοῖς πνευματικοῖς θεωρήμασι καὶ πείθει προτιμᾶν τῶν ὑλικῶν τὰ ἄϋλα, τῶν αἰσθητῶν τὰ νοητὰ καὶ θεῖα»* (I, 438 ξζ'). Ἡ ἀγάπη αὕτη ἐστὶν ἡ ἀγαπητὴ δύναμις τοῦ ἀνθρώπου ἡ μετὰ τὴν πτῶσιν τῇ αἰσθήσει δεδομένη. Ἐνόσῳ ὁ νοῦς τοῖς αἰσθητοῖς ἐνασχολεῖται καὶ ἐν αὐτοῖς διὰ τούτου πλατύνεται, πᾶσα ἡ ἐπιθυμία καὶ ἡ ἀγάπη ἐν αὐτοῖς εὑρίσκεται. Ἐὰν ὅμως χρονίᾳ ἀσκήσει τῆς τῶν ἡδονῶν ἐγκρατείας καὶ τῆς τῶν θείων μελέτης τοῦ Θεοῦ ἢ μᾶλλον τῶν θείων καὶ οἰκείων πεῖραν λάβῃ καὶ ἐν αὐτοῖς διὰ τῆς χρονήσεως ἐν αὐτοῖς πλατύνηται, τότε ἀνάπτεται ἡ ἀγάπη πρὸς ταῦτα ἢ μᾶλλον στρέφεται ἡ πρὸς τὰ αἰσθητὰ δεδομένη ἀγάπη πρὸς τὰ θεῖα καὶ οἰκεῖα καὶ νοητὰ καὶ ὁ ἄνθρωπος κατὰ μικρὸν ἀπορρήγνυσιν ἑαυτὸν τῆς σχέσεως πρὸς τὰ ὑλικὰ πράγματα, ἕως οὗ τέλος ὅλον τὸν πόθον ἐπὶ τὰ θεῖα μεταφέρει. Ἡ ἀγάπη φύσει στρέφεται πρὸς τὰ θεῖα, ἐὰν ὁ ἄνθρωπος τούτοις ἐνασχολῆται, τὸ φυσικὸν γὰρ ἀντικείμενον ταύτης ἐστι ὁ Θεός, τὰ θεῖα. Ἡ ἀγάπη αὕτη ἐστὶν ὁ ἔρως τοῦ Πλάτωνος, δι' οὗ ὁ ἄνθρωπος τείνει πρὸς τὸ θεῖον. Ἡ ἀγάπη αὕτη ἐστὶν ἡ ἀγάπη, ἡ ἔφεσις καὶ ὁ πόθος, ὃς πάντα τὰ ὄντα κατέχει κατὰ τὸν Διον. Καὶ κατὰ τὸν Μ. πάντα τὰ ὄντα κατέχει ἡ ἔφεσις αὕτη πρὸς τὸν Θεὸν καὶ πάντα τὰ ὄντα πρὸς τὸν Θεὸν κινοῦνται (lib. amb 120α, 1216.). Καὶ κατὰ τὸν Μ. τῆς ἀγάπης ταύτης καὶ τοῦ ἔρωτος *«προβολεὺς καὶ γεννήτωρ»* σύναμα δὲ καὶ τέλος ἐστὶν ὁ Θεός· ὁ Θεὸς γὰρ καὶ κατ' αὐτὸν *«ὡς ἐραστὸν καὶ ἀγαπητὸν πάντα κινεῖ πρὸς ἑαυτὸν τὰ ἔρωτος καὶ ἀγάπης δεκτικά».* (I, 630 πδ'.—παραβ. de div. nom 4,14). Καὶ κατὰ τὸν Μ. ἡ δύναμις τοῦ ἐφίεσθαι

οὐχὶ ἡ αὐτὴ πᾶσι τοῖς οὖσιν, ἀλλ' ἀνάλογος αὐτοῖς» (I, 613 πζ'. πρβ. de diu nom 1, 5). «*ὁ Θεὸς κινεῖ ἕκαστα κατὰ τὸν οἰκεῖον λόγον πρὸς αὐτὸν ἐπιστρέφεσθαι*» (I,631 πη'.). Ὁ Μ. ὅμως ἐνασχολεῖται περὶ τὴν ἀγάπην ἐν τῷ ἀνθρώπῳ μόνον καὶ ἡ ἐκδοχὴ ταύτης παρ' αὐτῷ διαφέρει τῆς παρὰ τῷ Διον. Ἡ ἀγάπη κατὰ Μ. οὐκ ἐστιν ἡ φυσικὴ ἔφεσις καὶ τάσις πρὸς τὸν Θεὸν ἐν τῷ ἀνθρώπῳ ἡ ἀνάλογος τῇ φυσικῇ ἐφέσει τῶν λοιπῶν ὄντων, οὐκ ἔστιν ἀφῃρημένη φυσική τις ἔννοια, ἀλλ' ἔχει ἠθικὸν χαρακτῆρα. Ἡ ἀγάπη αὕτη ἐξαρτᾶται ἐκ τοῦ αὐτεξουσίου τοῦ ἀνθρώπου. Ἡ ἀγάπη αὕτη, ὅταν ὁ Μ. περὶ ταύτης ὡς ἐνεργούσης τὴν διὰ τῶν ἀρετῶν θέωσιν τοῦ ἀνθρώπου καὶ ἐνανθρώπησιν τοῦ Θεοῦ πραγματεύεται, ἐστὶ μᾶλλον ἡ ἀγάπη κατὰ τὴν ἔννοιαν τῶν ἀρχαίων Πατέρων ἢ κατὰ τὴν τοῦ Διονυσίου (παραβ. I, 517 κθ'). Ἡ ἀγάπη ἐν τῇ πρακτικῇ φιλοσοφίᾳ ἐστὶν ἡ χριστιανικὴ ἀγάπη· αὕτη ἐστιν ἡ γενικωτάτη τῶν ἀρετῶν ὡς εἴδομεν· «*ἡ ἀγάπη οὐκ ἄλλη καὶ ἄλλη Θεῷ καὶ ἀνθρώποις, ἀλλὰ μία καὶ ἡ αὐτὴ ὅλη Θεῷ μὲν ὀφειλομένη ἀνθρώπους δὲ ἀλλήλοις ἐπισυνάπτουσα*» (II, 225). Διὰ τῆς ἐννοίας ταύτης τῆς ἀγάπης ἐν τῇ πρακτικῇ φιλοσοφίᾳ προσλαμβάνει ἡ πρακτικὴ φιλοσοφία θετικὸν χαρακτῆρα. Ἡ ἀγάπη αὕτη οὐκ ἔστι μόνον ἀρνητικῶς ἡ ἀποβολὴ τῆς κατὰ σάρκα στοργῆς, ἀλλὰ καὶ θετικῶς ἡ ἀγάπη πρὸς τὸν πλησίον. Διὰ τῆς ἀγάπης ταύτης γινόμεθα ἀγαθοί, γινόμεθα ὅμοιοι τῷ Θεῷ. Τοῦτό ἐστι τὸ χριστιανικὸν στοιχεῖον, ὅπερ ὁ Μ. τῷ ἔρωτι τῶν Νεοπλατωνικῶν παρενείρει.

Ἡ συμβολικὴ αὕτη καὶ ἀτελὴς θέωσις τοῦ ἀνθρώπου καὶ ἐνανθρώπησις τοῦ Θεοῦ ἐστὶ πρόσκαιρος, τούτῳ τῷ κόσμῳ ἀνήκουσα. Ὁ ἀρχικὸς σκοπὸς τοῦ ἀνθρώπου ἐστὶν ἡ τελεία ἄμεσος αὐτοῦ μετὰ τοῦ Θεοῦ ἕνωσις. Ἡ ἐνταῦθα θέωσις ἔχει παιδαγωγικὸν σκοπὸν (I, 475 σ'.), ἔστι προπαρασκευὴ πρὸς τὸν ὑψηλὸν σκοπὸν τοῦ ἀνθρώπου, ἐπέχει τόπον τροφῆς πρὸς αὔξησιν (I, 508 πη').

Ἡ τοιαύτη θέωσις ἄρχεται μὲν ἐν τούτῳ τῷ κόσμῳ μετὰ τὴν διάβασιν τῶν δύο εἰρημένων σταδίων (I 47 ξ'), διὰ τῆς μυστικῆς θεολογίας, ἀνήκει ὅμως κυρίως τῷ μέλλοντι.

---

§ γ'. Θεολογικὴ μυσταγωγία.

Ὁ Μ. ζητεῖ αὐτὸν τὸν Θεόν, ὡς εἴδομεν, ἀλλὰ μέσα Θεοῦ καὶ ἀνθρώπου εἰσὶ τὰ αἰσθητὰ καὶ νοητά. Ὁ Μ. οὖν θεωρεῖ τὰ δύο εἰρημένα στάδια ὡς βαθμιαίαν ὑπέρβασιν τῶν μέσων τούτων· (I, 558 ε',) καὶ δὴ διὰ μὲν τῆς ἀπαθείας τοῦ τέλους τῆς πρακτικῆς γινόμεθα ὑπεράνω τῶν αἰσθητῶν «*παυσάμενοι συναλλοιοῦσθαι τῇ κινήσει αὐτῶν*» (I 533 ηγ'), διὰ δὲ τῆς φυσικῆς θεωρίας παρερχόμενοι βαθμηδὸν τὰ νοήματα τῶν νοουμένων πάντων καὶ φθάσαντες πρὸς τὸ γενικώτατον τὴν φρόνησιν καὶ σοφίαν γινόμεθα ὑπεράνω τῶν νοητῶν. Τότε «*αὐτὴν τὴν οὐσίαν τῶν ὄντων παραδραμὼν ὁ ἄνθρωπος εἰς τὴν ὑπὲρ νόησιν σιγὴν καθίσταται καὶ τῇ μονάδι ἀγνώστως προσβάλλει*». (I,479 *πα'*.)· «*τὰ νοούμενα πάντα κατὰ τὴν νόησιν παρελθὼν παύεται ὥσπερ τῶν νοουμένων ἁπάντων οὕτω καὶ τῆς ὅλης νοήσεώς τε καὶ σχέσεως πρὸς τὰ σχετὰ πάντα καὶ νοητὰ οὐκ ἔχων λοιπὸν τί νοῆσαι τὸ παράπαν μετὰ τὴν τῶν νοηθῆναι φυσικῶς δυναμένων νόησιν, μεθ' ἣν ὑπὲρ νοῦν καὶ λόγον καὶ γνῶσιν ἀνοήτως ἀγνώστως τε καὶ ἀφράστως κατὰ ἁπλῆν προσβολὴν ἑνοῦται τῷ Θεῷ οὐ νοῶν παντάπασιν οὔτε μὴν τὸν Θεὸν λογιζόμενος*» (amb. libp. 186α 6). Αὕτη ἡ ἕνωσις μετὰ τοῦ Θεοῦ ἐστὶν ὁ σκοπὸς τοῦ ἀνθρώπου. Ταύτην θεωρεῖ ὁ Μ. πραγματοποιουμένην ἐν τῇ προσευχῇ (I, 378 κδ') καὶ ὀνομάζει ἀλλαχοῦ ἔκστασιν (I, 644

δ'., Παραβ. κυκλικὴν κίνησιν Διον.(de div nom. 4, 9), καὶ ἔκστασιν τῶν Νεοπλατωνικῶν (überweg Heinze, G. d. Ph. I. 323)·—ταυτίζων ὅμως ταῖς μεγάλαις τοῦ Χριστιανισμοῦ ἐλπίσι περιμένει ἐν τῷ μέλλοντι. Τότε ἐλθόντος τοῦ τελείου, τὸ ἐκ μέρους καταργηθήσεται, τότε ὀψόμεθα τὸν Θεὸν οὐχὶ δι' ἐσόπτρου ἐν αἰνίγματι ὡς νῦν, ἀλλὰ πρόσωπον πρὸς πρόσωπον (I, 497 νζ'. παραβ. ἐπ. πρὸς Κορινθίους Παύλου 13, 10. 12).

Τὴν θέωσιν ταύτην θεωρεῖ ὁ Μ. ὡς πάθος τοῦ ἀνθρώπου· «*Ποιοῦμεν κατὰ Μ. ἐφ' ὅσον τήν τε τῶν ἀρετῶν ποιητικὴν φύσει λογικὴν ἔχομεν δύναμιν ἐνεργουμένην καὶ τὴν πάσης γνώσεως δεκτικὴν νοερὰν ἀσχέτως δύναμιν πᾶσαν τῶν ὄντων καὶ γινωσκομένων φύσιν διαβαίνουσαν καὶ πάντας κατόπιν αὐτῆς τοὺς αἰῶνας ποιουμένην ἡ νίκα ὅμως τοὺς τῶν ἐξ οὐκ ὄντων τελείως τοὺς λόγους περάσαντες εἰς τὴν τῶν ὄντων ἀγνώστως ἔλθωμεν αἰτίαν καὶ συγκαταπαύσωμεν τοῖς φύσει πεπερασμένοις τὰς οἰκείας δυνάμεις, τότε πάσχομεν ἐκεῖνο γινόμενοι, ὅπερ τῆς κατὰ φύσιν δυνάμεως οὐδαμῶς ὑπάρχει κατόρθωμα· ἐπειδὴ τοῦ ὑπὲρ φύσιν ἡ φύσις καταληπτικὴν οὐ κέκτηται δύναμιν*» (I, 46, 47). Κατὰ τὸν Ritter ὁ Μ. τοῦτο μὲν θεωρῶν τὸν Θεὸν ὑπὲρ φύσιν καὶ οὐσίαν κατὰ τὴν ἀποφατικὴν θεολογίαν, τοῦτο δὲ τὸν Θεὸν αὐτὸν ἐλπίζων ἰδεῖν καὶ ἀπολαῦσαι συμφώνως ταῖς τοῦ χριστιανισμοῦ ἐλπίσι θεωρεῖ τοῦτο γινόμενον διὰ πάθους τοῦ ἀνθρώπου καὶ νέας δημιουργίας τοῦ Θεοῦ (Geschichte der Philosophie 6, 550, 1841).

Ἡ θέωσις αὐτὴ οὐκ ἔστι φυσικὴ τῷ ἀνθρώπῳ· αὕτη ἐστὶ χάρις ἐκ Θεοῦ τὴν μεγάλην ἀγαθότητα αὐτοῦ δεικνύουσα καὶ διὰ τοῦτο ἄρρητον καὶ ἀπερινόητον μυστήριόν ἐστιν. Αὕτη ὅμως ἐστὶν ὁ ἀρχικὸς σκοπὸς τοῦ ἀνθρώπου ὡς εἴδομεν· «*ἕνωσις γὰρ προϋπενοήθη τῶν αἰώνων ὅρου καὶ ἀοριστίας μέτρου καὶ ἀμετρίας κτίστου καὶ κτίσεως καὶ στάσεως καὶ*

κινήσεως» (I, 210). Ἡ Θέωσις αὕτη ἐστίν, ὡς εἴδομεν (2.) ἡ ἄμεσος διὰ τοῦ νοῦ ἐπίγνωσις τοῦ Θεοῦ· τοῦτο γίνεται μετὰ τὴν διάβασιν τῶν αἰσθητῶν καὶ νοητῶν· ἐν ὅσῳ ἐν τούτοις ἐσμέν, ποιοῦμεν, ὅταν ταῦτα παρέλθωμεν καὶ πρὸς τὸν Θεὸν ἀνείμονι καὶ γυμνῇ διανοίᾳ ἀτενίσωμεν, τότε πάσχομεν, ἡ κατάστασις ἡμῶν τότε ἐστι παθητικὴ θεωρία τοῦ ἀπλέτου φωτὸς τῆς Θεότητος. Τότε παύει ἡ σχετικὴ γνῶσις « *ἐν λόγοις κειμένη καὶ νοήμασιν»*· ἔχομεν γὰρ τότε *«τὴν κυρίως ἀληθῆ γνῶσιν ἐν μόνῃ τῇ πείρᾳ κατ' ἐνέργειαν δίχα λόγου καὶ νοημάτων ὅλην τοῦ γνωσθέντος κατὰ χάριν μεθέξει παρεχομένην τὴν αἴσθησιν»* (I, 210 211).

Τότε τὸν Θεὸν αὐτὸν ἔχοντες *«εἰσόμεθα πάντας τοὺς ἐν αὐτῷ τῶν γεγονότων προυφεστῶτας λόγους καθ' ἁπλῆν τινὰ καὶ ἀδιαίρετον γνῶσιν, ὥσπερ ἐν τῷ κέντρῳ τῶν ἐξ αὐτοῦ κατ' εὐθεῖαν ἐκτεταμένων γραμμῶν ἀδιαίρετος παντελῶς θεωρεῖται ἡ θέσις»* (I, 485 δ. παραβ. de div. nom. 5. 6). Ἐν τῇ καταστάσει ταύτῃ ἐσόμεθα ὑπὲρ αἰῶνας καὶ τόπους, ὁ Θεὸς γάρ, ὅστις ἡ κληρονομία ἡμῶν ἐστίν, ὑπὲρ πάντας αἰῶνας καὶ τόπους ἐστίν (I, 475 ξ η'. σ'.) Ἡ ἀγαπητὴ ἡμῶν δύναμις εὑρήσει τότε τὸ τέλος αὐτῆς, πρὸς ὃ ἡμῖν ὑπὸ τοῦ Θεοῦ ἐδόθη· τότε παύσεται πρὸς τοὺς ἐνταῦθα τύπους τῆς θεότητος κινουμένη αὐτὸ τὸ πρωτότυπον εὑροῦσα καὶ περιπτυσσομένη (amb. lib. 122α. 6.). Τὴν κατάστασιν ταύτην περιγράφει ὁ Μ. ὡς χαρὰν καὶ εὐφροσύνην, ὡς οὐκ ἔχουσαν μήτε παρελθὸν μήτε μέλλον· τὴν χαρὰν γὰρ διακρίνει τῆς ἡδονῆς τὸ μήτε λύπην ἐπίστασθαι παρελθοῦσαν μήτε τὸν ἐκ φόβου κόρον ἐπιδέχεσθαι προσδοκώμενον.»

Ἐν τῇ ἑνώσει ταύτῃ οὐκ ἀπόλλυται ὁ ἄνθρωπος ἐν τῷ Θεῷ, ἀλλὰ διατηρεῖ ἐν τῇ ἑνώσει ταύτῃ τὴν φύσιν αὐτοῦ. Ἡ ἕνωσις αὕτη ἐστὶν ἕνωσις καθ' ὑπόστασιν *«εἰς ταὐτὸν ἄγουσα*

τῇ θεότητι κατὰ πάντα τρόπον τῷ τῆς ὑποστάσεως λόγῳ τὴν ἀνθρωπότητα καὶ μίαν ἀμφοτέρων ἀποτελοῦσα τὴν ὑπόστασιν σύνθετον τῆς αὐτῶν κατὰ φύσιν οὐσιώδους διαφορᾶς μηδεμίαν καθ' ὁτιοῦν ἐπάγουσα μείωσιν (I, 209). *Οὐχί ἀναίρεσις τοῦ αὐτεξουσίου γενήσεται τότε, ἀλλὰ θέσις ἡ κατὰ φύσιν παγία τε καὶ ἀμετάθετος. Ὁ ἄνθρωπος ἔσται ὡς εἰκὼν ἡρμοσμένη τῷ ἀρχετύπῳ* (amb. lib. 1226.) *ὡς ἀὴρ δι' ὅλου πεφωτισμένος φωτὶ καὶ σίδηρος ὅλος πεπυρακτωμένος»* (1216.). Τὸ διαφαινόμενον ἔσται ὁ Θεός, ὡς ἐν τοῖς παραδείγμασι τὸ ἀρχέτυπον τὸ φῶς, τὸ πῦρ, ἀλλ' ἐν ταὐτῷ ἡ φύσις τοῦ ἀνθρώπου οὐκ ἀπόλλυται, ὡς ἐν τοῖς παραδείγμασιν ἡ εἰκών, ὁ ἀήρ, ὁ σίδηρος Διὰ τοῦτο ὁ Μ. θερμὸς ὑπερασπιστὴς τῶν δύο θελήσεων ἐν τῷ Ι. Χ. ἐστιν.—Ὁ Θεὸς γενήσεται πρὸς τὴν ψυχὴν ὡς ἡ ψυχὴ πρὸς τὸ σῶμα, καὶ διὰ μέσης ψυχῆς ἑνωθήσεται τῷ σώματι καὶ οὕτως ὁ ἄνθρωπος *«μένων ὅλος ἄνθρωπος κατὰ ψυχὴν καὶ σῶμα διὰ τὴν φύσιν ὅλος γενήσεται θεὸς κατὰ ψυχὴν καὶ σῶμα διὰ τὴν χάριν»* (amb. lib. 1276). Τὸ σῶμα *«λήψεται τὴν πρὸς τοῦτο δύναμιν καὶ ἐπιτηδειότητα διὰ τῆς εἰς ἀφθαρσίαν ἀλλαγῆς»* (II, 522). Τὴν ἀφθαρσίαν αὐτοῦ ἐπιφέρει ἡ ἀτρεψία τῆς προαιρέσεως, ὡς τὴν φθορὰν καὶ τὸν θάνατον ἡ τροπὴ τῆς προαιρέσεως ἀπὸ τοῦ ἀγαθοῦ ἐπεισήγαγεν (I, 95.) *«Ἕνεκα ταύτης ὁ θάνατος οὐκ ἔστι χρέος ὑπὲρ ἁμαρτίας, ἀλλὰ κατάκρισις τῆς ἁμαρτίας πρὸς τὴν θείαν καὶ ἀτελεύτητον ζωὴν μυστικῶς παραπέμπων. Οἱ ἀληθείας ἕνεκεν καὶ δικαιοσύνης διὰ πολλῶν παθημάτων γενναίως τὸν τῆς παρούσης ζωῆς πεπληρωκότες δρόμον ἐλευθεροῦσι τὴν φύσιν ἐν ἑαυτοῖς τῆς διὰ τὴν ἁμαρτίαν κατακρίσεως τοῦ θανάτου καὶ τὸ πρὸς ἀναίρεσιν τῆς φύσεως ὅπλον τοῦ*

θανάτου πρὸς ἀναίρεσιν τῆς ἁμαρτίας ποιοῦσι» (I, 219, 220.) Τὰ φυσικὰ οὖν γνωρίσματα τῆς τε ψυχῆς καὶ τοῦ σώματος τῇ ὑπερβολῇ τῆς δόξης νικηθήσονται· ἡ ψυχὴ παύσεται, ὡς εἴδομεν, τῶν φυσικῶν (μετὰ τὴν πτῶσιν) αὐτῆς ἐνεργειῶν καὶ ἑαυτῇ συναναπαύσει τὰς τοῦ σώματος φυσικὰς ἐνεργείας· μόνος ὁ Θεὸς διά τε τῆς ψυχῆς καὶ τοῦ σώματος φανεῖται τότε. Τότε ἡ ψυχὴ τραφήσεται τὸ ὑπὲρ νόησιν οὐχὶ πλέον πρὸς ἐπίδοσιν καὶ αὔξησιν, ἀλλὰ πρὸς συντήρησιν τῆς δοθείσης αὐτῇ θεοειδοῦς τελειότητος καὶ ἔκφανσιν τῶν τῆς τροφῆς ἐκείνης ἀπείρων ἀγλαϊῶν (I, 507 πη'.) Τοῦτό ἐστι τὸ ἀεὶ εὖ εἶναι, οὗτινος πέρας ὁ ἄνθρωπος οὐ λήψεται· *«ὁ γὰρ τοῦτο ποιῶν ἀόριστος ὑπάρχων κατ' οὐσίαν καὶ πάσης ἀοριστίας ἐπέκεινα ἀόριστον ἔχει καὶ πάσης ἀοριστίας ἐπέκεινα τὴν τοῦτο ποιοῦσαν δύναμιν καὶ μηδέποτε συγκαταλήγουσαν τοῖς ὑπ' αὐτοῖς γενομένοις καθάπερ ἡμεῖς, ἀεὶ δὲ μᾶλλον ἑαυτῇ συγκρατοῦσαν τοὺς ἐξ αὐτῆς τὸ εἶναι λαβόντας, ἄνευ αὐτῆς εἶναι μὴ δυναμένους»* (I, 47).

Ἡ θέωσις αὕτη, ὡς εἴδομεν, γενήσεται κατὰ τὸν Μ. κατὰ τὴν προσδοκωμένην ἀνάστασιν, κατὰ τὸ προσδοκώμενον ὑπὸ τῶν χριστιανῶν τέλος τῶν αἰώνων. Τότε ἡ φύσις ἀπολήψεται τὴν ἀφθαρσίαν καὶ ἀθανασίαν, ἥτις ἀρχικῶς (ἰδανικῶς) αὐτῇ ἀνήκει. Τότε ὁ Θεὸς ἑνωθήσεται πᾶσιν, ἀλλ' οὐχὶ πᾶσιν ὁμοίως. *«Ὁ Θεὸς ἔσται τότε τόπος ἀπερίγραφος καὶ ἀδιάστατος καὶ ἄπειρος πάντων τῶν σωζομένων, πᾶσι πάντα γινόμενος κατὰ τὴν ἀναλογίαν τῆς δικαιοσύνης, μᾶλλον δὲ κατὰ τὸ μέτρον τῶν μετὰ γνώσεως ὑπὲρ δικαιοσύνης ἐνταῦθα παθημάτων ἑαυτὸν ἑκάστῳ δωρούμενος, καθάπερ ψυχὴ σώματος μέλεσι, κατὰ τὴν ὑποκειμένην ἑκάστῳ μέλει δύναμιν ἑαυτὴν ἐνεργοῦσαν ἐκφαίνουσα καὶ πρὸς τὸ*

εἶναι δι' ἑαυτῆς τὰ μέλη συνέχουσα πρὸς ζωὴν συγκρατούμενα» (I, 597 να'). Τοῖς ἀξίοις ἑνούμενος ὁ Θεὸς παρέχεται ἡδονὴν ἀνεννόηνον, ἀλλ' ὁ Θεὸς ὡς πᾶσιν ἑνωθησόμενος, ἑνωθήσεται καὶ τοῖς ἀναξίοις. Ἡ ἕνωσις αὕτη ἐστὶ παρὰ φύσιν καὶ διὰ τοῦτο παρέχει αὐτοῖς ἀνεκλάλητον ὀδύνην, ἥτις ἐστὶ στέρησις τῆς ἡδονῆς (I, 588 κ'.). Κατὰ τὸ ἀεὶ εἶναι πάντας συνέξει παρὼν ὁ Θεός, ἀλλὰ τοὺς μὲν ἀξίους κατὰ τὸ ἀεὶ εὖ εἶναι, τοὺς δὲ ἀναξίους κατὰ τὸ ἀεὶ φεῦ εἶναι. Ἡ ὀδύνη αὕτη τῶν ἀναξίων ἐστὶν ἡ κρίσις ἡ περιμένουσα τοὺς ἁμαρτωλοὺς ἐν τῇ ἀναστάσει κατὰ τοὺς χριστιανούς. Ὁ τρόπος οὖν τῆς μετοχῆς τοῦ Θεοῦ ἐστὶν ἀνάλογος τῆς ἠθικῆς ποιότητος τοῦ ἀνθρώπου. Οὐ μόνον οἱ ἁμαρτωλοὶ διαφόρως τοῦ Θεοῦ μεθέξουσιν ὀδύνην ἀνθ' ἡδονῆς αἰσθανόμενοι, ἀλλὰ καὶ οἱ ἄξιοι οὐχὶ ὁμοίως πάντες τοῦ Θεοῦ μεθέξουσιν, ἀλλ' ἀναλόγως τῆς προόδου αὐτῶν ἐν τῇ ἠθικῇ τελειότητι.

Ἡ ἕνωσις αὕτη τοῦ Θεοῦ μετὰ τοῦ ἀνθρώπου ἐπιφέρει, ὡς εἴδομεν, καὶ τὴν ἕνωσιν τοῦ Θεοῦ μεθ' ὅλου τοῦ κόσμου. Κατὰ ταύτην τὴν ἔννοιαν ὀνομάζει τὸ τέλος τοῦτο τῶν αἰώνων Θεοῦ Σαββατισμόν, καθ' ὃν γενήσεται *«ἡ τῶν πεποιημένων πάντων εἰς τὸν Θεὸν κατάντησις»* (470 μζ'.). Τότε γενήσεται ὡς εἴδομεν ἡ ἀνακεφαλαίωσις πάντων διὰ τοῦ ἀνθρώπου ἐν τῷ Θεῷ. Τότε ἐπιτευχθήσεται ὁ σκοπὸς τοῦ ἀνθρώπου, ὃν ὁ πρῶτος ἄνθρωπος παρώσατο, καὶ μετ' αὐτοῦ τοῦ κόσμου. Τότε γενήσεται, ὅπερ ὁ Θεὸς ἐξ ἀρχῆς προώρισεν, οὐκ ἐγένετο ὅμως, ἕνεκα τῆς πτώσεως τοῦ ἀνθρώπου.

Καὶ κατὰ τὸν Διον. τὸ τέλος τοῦ ἀνθρώπου ἐστὶν ἡ θέωσις· ἡ θέωσις ὅμως κατὰ Μ. ἐστὶ πολὺ διάφορος τῆς τοῦ Διονυσίου. Κατὰ τὸν Μ. ἡ ἕνωσις αὕτη γενήσεται ἐν τῷ μέλλοντι, ἐνῷ κατὰ τὸν Διον. ἐν τῇ παρούσῃ ζωῇ.—παραβ. Ritter 6,540.

Κατὰ τὸν Μ. ἡ ἕνωσις αὕτη ἐστὶν ἄμεσος ἕνωσις μετὰ τοῦ Θεοῦ αὐτοῦ. Κατὰ τὸν Διον θέωσίς ἐστι τὸ προσχωρῆσαι τὸν ἄνθρωπον τῇ ἑαυτοῦ τάξει καὶ διὰ τούτου τοσοῦτον τοῦ Θεοῦ μετασχεῖν, ὅσον αὐτῷ ἀνήκει κατὰ τὴν τάξιν, ἣν ἔχει ἐν τῷ σύμπαντι, οὐχὶ ἄμεσος μετὰ τοῦ Θεοῦ σύνδεσμος, ἀλλὰ μέσον τῶν ἀνωτέρων τάξεων, μεθ' ὧν συνέχεται· — ἴδε Ritter 6529 Κατὰ τὸν Μ. ὁ ἄνθρωπος οὐκ ἀπόλλυται ἐν τῷ Θεῷ, ἀλλὰ διατηρεῖ τὴν ὕπαρξίν του· κατὰ τὸν Διον. ὁ ἄνθρωπος δίδωσιν ἑαυτὸν τῷ Θεῷ, ἀπόλλυται ἐν αὐτῷ ἓν μέλος γινόμενον αὐτοῦ ἐν τῇ σειρᾷ τῆς ἀναπτύξεως αὐτοῦ, ἓν σημεῖον τῆς ἐμφανίσεως αὐτοῦ. Κατὰ τὸν Μ. ἰδίαν θέσιν ἔχει ὁ ἄνθρωπος ἀπέναντι τοῦ Θεοῦ· κατὰ τὸν Διον. οὐδὲν διαφέρει ὁ ἄνθρωπος τῶν λοιπῶν ὄντων· καὶ αὐτός, ὡς ἕκαστον τῶν λοιπῶν ὄντων, μετέχει τοῦ Θεοῦ τοσοῦτον, ὅσον τῇ ἑαυτοῦ τάξει ἀνήκει, ἓν ἁπλοῦν μέλος τῆς ἐκ Θεοῦ ἀλύσεώς ἐστιν, ὅπως καὶ πᾶν ἄλλο ὄν. Κατὰ ταῦτα ἡ θέωσις τοῦ Μ. ἐστὶν ἡ ἐκχριστιανισθεῖσα θέωσις τοῦ Διονυσίου.



9. Εἰδικὴ ἀποκάλυψις.

Εἴδομεν ὅτι ὁ Θεὸς τὸν παραπλανηθέντα ἄνθρωπον τοῦτο μὲν διὰ τοῦ φυσικοῦ λόγου καὶ τῆς διαρρυθμίσεως τοῦ κόσμου, τοῦτο δὲ διὰ τῶν ἐν τοῖς οὖσι κεκρυμμένων λόγων ὁδηγεῖ πρὸς ἑαυτόν, ἤτοι τὸν ἀρχικὸν σκοπὸν αὐτοῦ. Ἀλλ' ὁ Θεὸς κατὰ Μ. καὶ ἑτέρῳ μέσῳ πρὸς τοῦτο ἐχρήσατο. Ὁ Θεὸς ἀπεκαλύφθη τοῖς ἀνθρώποις κατὰ καιροὺς ὁδηγῶν αὐτοὺς πρὸς τὸν σκοπὸν αὐτοῦ. Αὕτη ἐστὶν ἡ ἀποκάλυψις τοῦ Θεοῦ ἐν τῇ ἱστορίᾳ. Τὴν ἀποκάλυψιν ταύτην εὑρίσκομεν ἐν τῇ ἁγίᾳ Γραφῇ.

Τὴν ἁγίαν Γραφὴν γενικῶς παραβάλλει ὁ Μ. πρὸς τὸν κόσμον, τὴν φυσικὴν ἀποκάλυψιν τοῦ Θεοῦ. Κατὰ τὴν παραβολὴν ταύτην τὰ ῥήματα τῆς ἁγίας Γραφῆς εἰσὶ τὰ προβεβλημένα εἴδη καὶ σχήματα ἐν τῇ φύσει, τὸ πνεῦμα τῆς ἁγίας Γραφῆς οἱ λόγοι οἱ ἐν τοῖς εἴδεσι καὶ σχήμασιν (amb. lib. 146α). Καὶ διὰ τοῦτο κατακρίνει ὁ Μ. τοὺς τὸ γράμμα θεωροῦντας καὶ οὐχὶ τὸ πνεῦμα, ὡς τοὺς μένοντας εἰς τὴν ἐπιφάνειαν τῶν ὄντων καὶ τοὺς ἐν αὐτοῖς λόγους οὐ θεωροῦντας, καὶ ἐν τούτῳ εὑρίσκει ὑποστήριξιν ἡ ἀλληγορικὴ ἑρμηνεία τῆς ἁγίας Γραφῆς. Κατὰ ταύτην εὑρίσκει ὁ Μ. ἐν τῇ Γραφῇ συμβολικῶς πανταχοῦ διδασκόμενον, ὑπὸ πάντα τὰ συμβεβηκότα ἐν τῇ Παλαιᾷ καὶ Νέᾳ Διαθήκῃ κρυπτόμενον τὴν ἄνοδον πρὸς τὸν Θεὸν καὶ τὰ εἰρημένα τρία στάδια ταύτης.

Εἰδικῶς διακρίνει ὁ Μ. ἐν τῇ ἀποκαλύψει τῆς ἁγίας Γραφῆς δύο στάδια ἀντιστοιχοῦντα τῇ πρακτικῇ φιλοσοφίᾳ καὶ φυσικῇ θεωρίᾳ, τὴν Παλαιὰν καὶ Νέαν Διαθήκην. Διὰ τοῦ νόμου ἐσκόπει ὁ Θεὸς τὴν ἐκ τῶν παρὰ φύσιν ἀπαλλαγὴν τοῦ ἀνθρώπου (I, 87) καὶ διὰ μὲν τοῦ νόμου ἰδιαιτέρως τῶν ἐξωτερικῶν παθῶν, διὰ δὲ τῶν προφητῶν καὶ τῶν ἐσωτερικῶν (I, 482, 90, 14 ε'.) Τοῦτο ποιεῖ ὁ νόμος διὰ τοῦ φόβου Καὶ ἐν τῷ φόβῳ τῶν ἐπιτιμίων, δι' οὗ ὁ νόμος τὰς ἀτάκτους ὁρμὰς ἐπέχει, ὁρᾷ ὁ Μ. παιδαγωγικὸν σκοπὸν τοῦ Θεοῦ, ὁ νόμος διὰ τοῦ φόβου «*ἐθίζει πρὸς τὸ δίκαιον, χρόνῳ δὲ τὸ ἔθος ποιεῖ διάθεσιν φιλοδίκαιον, ὑφ' ἧς παγία πρὸς τὸ καλὸν ἕξις ἐπιγίνεται λήθην προλαβούσης πονηρίας ἐπάγουσα*» (I, 612 ια'.). Διὰ ταύτης τῆς πρώτης ἀποκαλύψεως προπαρεσκευάσθη ὁ ἄνθρωπος πρὸς τὴν δευτέραν ἀποκάλυψιν. Ὁ ἄνθρωπος ἀπαλλαγεὶς ἤδη τῶν παθῶν (I, 404 οζ'.), φθάσας τὸ τέλος τῆς πράξεως ἠδύνατο πρὸς τὴν θεωρίαν ὁδηγηθῆναι, καθαρὸς ἤδη ὢν ἠδύνατο

τὴν θείαν ἔλλαμψιν δέξασθαι. Αὕτη ἡ δευτέρα ἀποκάλυψίς ἐστιν ἡ Καινὴ Διαθήκη· αὕτη ἐστὶ *«ποιητικὴ τῆς ἐν ἑκάστῳ τῶν πιστῶν θεωρητικῆς ἕξεως»* (I, 605 πγ΄.)· αὕτη *«καταφαιδρύνει τὸν μυστικῶς αὐτῆς ἀντεχόμενον νοῦν τοῖς θείοις νοήμασι καὶ γνωρίσμασιν»* (I, 606 πε΄.)· *αὕτη ἐστὶν ὁ ἐν τοῖς δόγμασι χαριζόμενος φωτισμὸς τῆς γνώσεως*(I, 404 οζ΄.). Ἐν τῇ δευτέρᾳ ταύτῃ ἀποκαλύψει οὐ βασιλεύει ὁ πρῶτος φόβος· τοῦτον βάλλει ἔξω ἡ ἀγάπη, ἥτις ἐν ταύτῃ βασιλεύει· *«ταύτῃ συνέζευκται ἕτερος φόβος εὐλάβειαν τῇ ψυχῇ ἀεὶ ἐμποιῶν, ἵνα μὴ διὰ τὴν τῆς ἀγάπης παρρησίαν εἰς καταφρόνησιν Θεοῦ ἔλθῃ»* (I, 405 πα΄. πϐ΄.). Ἐν τῇ πρώτῃ ἀποκαλύψει ἐστὶν ὁ ἄνθρωπος δοῦλος, ἐν τῇ δευτέρᾳ υἱός.

Καὶ ἐν ταῖς δυσὶ ταύταις ἀποκαλύψεσιν ὁ αὐτὸς λόγος ἐφανερώθη, ἡ οὐσία τῶν ἀρετῶν καὶ τῶν ὄντων, ὡς εἴδομεν, καὶ *«διὰ τῶν θεσμῶν καὶ δογμάτων ἐμπεριπατεῖ ἐν ἡμῖν ὁ λόγος»* (I, 405), γίνεται ἐν ἡμῖν ὁ λόγος ἄνθρωπος, ὡς διὰ τῶν τρόπων τῶν ἀρετῶν καὶ τῶν λόγων τῶν ὄντων.


Καὶ ἐν τῷ Ι. Χ. ὁρᾷ ὁ Μ. ἀποκάλυψιν τοῦ Θεοῦ πρὸς τοῦτον τὸν σκοπόν. Ἐν τῷ Ι. Χ. ἔδειξεν ὁ Θεὸς τῷ ἀνθρώπῳ τὸν σκοπὸν αὐτοῦ καὶ τὴν ὁδὸν πρὸς τοῦτο. Ὁ Μ. ὁρᾷ ἐν τῷ βίῳ τοῦ Ἰησοῦ Χριστοῦ οἱονεὶ εἰκονογραφημένην τὴν ὁδὸν πρὸς τὸ τέλος τοῦ ἀνθρώπου, ἤτοι τὰ τρία στάδια τῆς ὁδοῦ ταύτης, ἅτινα ὅμως ὡς ἄρσιν τῶν ἐν τῷ κόσμῳ διαιρέσεων παρίστησιν. Ἡ ἱστορία τοῦ Ι. Χ. φαίνεται τῷ Μ. ὡς βαθμιαία ἄνοδος πρὸς τὸν Θεόν. Ἐν τῇ γεννήσει τοῦ Ι. Χ. βλέπει τὴν ἄρσιν διαφορᾶς ἄρρενος καὶ θήλεως (καὶ διὰ τοῦτο ὁ Μ. ὑπερασπιστὴς τῆς ἀειπαρθενίας τῆς θεοτόκου ἐστίν), ἐν τῇ ἱστορίᾳ τὸν πειρασμόν, ἐν τῇ ἐρήμῳ τὴν ἀπαλλαγὴν ἐκ τοῦ καθ' ἡδονὴν παθητοῦ, ἐν τῷ σταυρῷ καὶ τῷ θανάτῳ τὴν ἀπαλλαγὴν ἐκ τοῦ κατ' ὀδύνην

παθητοῦ (I, 41), ἐν τῇ ἀναστάσει τὴν ἄρσιν τῆς φθορᾶς, ἣν διὰ τῆς ἀτρεψίας τῆς προαιρέσεως αὐτοῦ κατώρθωσεν (I, 95), τὴν ἀνάληψιν τῆς ἀρχικῆς καταστάσεως τοῦ ἀνθρώπου καὶ ἐπομένως τὴν ἄρσιν διαφορᾶς παραδείσου καὶ οἰκουμένης, ἐν τῇ ἀναλήψει τὴν ἕνωσιν οὐρανοῦ καὶ γῆς, τὴν τελείαν ἀορασίαν τοῦ νοῦ πρὸς τὰ αἰσθητά, ἐν τῇ κατὰ σειρὰν τῶν θείων ταγμάτων διόδῳ μετὰ τῆς ψυχῆς καὶ τοῦ σώματος τ. ε. τελείας τῆς ἡμετέρας φύσεως τὴν ἕνωσιν αἰσθητῶν καὶ νοητῶν, τὴν ἰσότητα πρὸς τοὺς ἀγγέλους κατὰ τὴν γνωστικὴν ἐπιστήμην τῶν ἐν τοῖς οὖσι λόγων, ἐν τῇ τελευταίᾳ ἐμφανίσει πρὸς τὸν Θεὸν τὴν τελείαν ἕνωσιν Θεοῦ καὶ ἀνθρώπου (amb. lib. 221α, 225α.). Τὴν ἄρσιν ταύτην θεωρεῖ ὁ Μ. οὐ μόνον ὡς παραδειγματικήν, ἀλλὰ καὶ ὡς πραγματικῶς συμβᾶσαν· ὁ λόγος ὁ ἐν τῷ Ι. Χ. ἐνανθρωπήσας οὐκ ἔδειξεν μόνον τὴν ὁδόν, ἀλλὰ συνάμα καὶ διῆλθε τὴν ὁδὸν ταύτην πραγματικῶς, ἦρεν ὑπὲρ ἡμῶν τὰς διαφοράς· ἀνῆλθεν ὑπὲρ ἡμῶν πρὸς τὸν Θεόν γενόμενος «*πρόδρομος ὑπὲρ ἡμῶν πρὸς τὸν πατέρα τὸ καθ' ἡμᾶς*» (I, 490 κε'.). Διὰ τούτου ἤνοιξεν ἡ ὁδὸς πρὸς τὸν Θεόν, ἐγένετο ἡ ἀρχὴ τῆς σωτηρίας· διὰ τούτου δυνάμει ἐστὶν ἡ ἄρσις τῶν διαφορῶν πραγματική, αὕτη γίνεται ἐν ἡμῖν πραγματική, ἂν ἀκολουθήσωμεν αὐτῷ· τότε καὶ ἡμεῖς ἄραντες πάσας τὰς διαφορὰς φθάσομεν τὸν τόπον, ὅπου αὐτός ἐστιν, ἤτοι γενησόμεθα θεοὶ (I, 492 λϐ'.)—παραϐ. I, 223 σχ. ιε'. (ἡ κατάκρισις τοῦ θανάτου γενικῶς μὲν συνέϐη ἐν τῇ ἐνανθρωπήσει τοῦ Θεοῦ, εἰδικῶς δὲ διὰ τῆς κατὰ Χριστὸν ἑκάστου γνωμικῆς ἀναγεννήσεως). Τὴν ἀρχὴν πρὸς τοῦτο ποιοῦμεν διὰ τῆς πίστεως ἐν τῷ βαπτίσματι. Ἡ πίστις ἐστὶν ἡ ἀναγνώρισις τοῦ τοιούτου· αὕτη ἐστὶ δευτέρα γέννησις, δι' ἧς δίδοται δυνάμει «*ἡ υἱοθεσία ἤτοι σπέρμα πρὸς τὴν τοῦ σπείραντος εἰδοποιοῦν τοὺς γεννωμένους ὁμοίωσιν.*» Τὸ σπέρμα τοῦτο, ὅπερ

ὁ ἄνθρωπος δυνάμει ἔχει, διὰ τῆς δευτέρας γεννήσεως αὐτοῦ, διὰ τοῦ βαπτίσματος, δέον καὶ προαιρέσει ἀναπτύξαι, ἵνα τὴν υἱοθεσίαν ἐνεργείᾳ λάβῃ ἐν τῷ τέλει τῆς ὁδοῦ ταύτης πρὸς τὸν Θεόν.

Τὸν Ι. Χ. θεωρεῖ ὁ Μ. ὡς εἴδομεν ἐνσάρκωσιν τοῦ λόγου. Τὴν ἐνσάρκωσιν ταύτην τοῦ λόγου ἐν τῷ Ι. Χ. παραβάλλει τῇ ἐνσωματώσει τοῦ λόγου ἐν τῷ ἀνθρώπῳ διὰ τῶν ἀρετῶν, ὡς ὅταν λέγῃ· «*Ὁ τοῦ θεοῦ λόγος καὶ Θεὸς ἀεὶ βούλεται καὶ ἐν πᾶσι τῆς αὐτοῦ ἐνσωματώσεως τὸ μυστήριον ἐνεργεῖσθαι*» amb. lib. 1256) «*ἀεὶ θέλων γεννᾶται Χριστὸς μυστικῶς διὰ τῶν σωζομένων σαρκούμενος καὶ μητέρα παρθένον ἀπεργαζόμενος τὴν γεννῶσαν ψυχήν*» (I, 490). Κατὰ ταῦτα ἡ ἐνσάρκωσις τοῦ Θεοῦ ἐν τῷ Ι. Χ. ἐστὶν ἀνάλογος τῇ ἐνανθρωπήσει τοῦ Θεοῦ ἐν τῷ ἀνθρώπῳ δι' ἀρετῶν, ἀνάλογος τῇ ἐνανθρωπήσει τοῦ Θεοῦ διὰ τῶν θεσμῶν καὶ δογμάτων. (I. 105), ἀνάλογος τῇ ἐνανθρωπήσει τοῦ Θεοῦ διὰ τῶν ἀρετῶν καὶ τῆς σοφίας· «*ἐν Χριστῷ κατ' οὐσίαν οἰκεῖ τὸ πλήρωμα τῆς θεότητος, ἐν ἡμῖν δὲ κατὰ χάριν, ἂν πᾶσαν ἀθροίσωμεν ἀρετὴν καὶ σοφίαν*» I, 480), ἀνάλογος τῇ φανερώσει τοῦ Θεοῦ ἐν τῇ φύσει. Οὐκ ἔχομεν οὖν ἐν τῷ Ι. Χ. τελείαν φανέρωσιν τοῦ Θεοῦ, ἀλλὰ συμβολικήν. Διὰ τοῦτο ὁ Μ. θεωρεῖ τὸν Ι. Χ., συγκρινόμενον πρὸς τὴν δευτέραν ἀποκάλυψιν, πρὸς τὴν δευτέραν αὐτοῦ παρουσίαν πρόδρομον ἑαυτοῦ «*παραδείξαντα μὲν ἀμυδρῶς ἐν ἑαυτῷ πρὸς τὴν τῶν ὑποδεχομένων δύναμιν οὐ φανερώσαντα δὲ νῦν, ἅπερ ἔχει σεσιγημένα παρ' ἑαυτῷ ἐν ἀποκρύφῳ μυστήρια, διὰ τὸ τῇ κτίσει τέως παντελῶς ἀχώρητα*» (amb. lib. 202α)'Ἐν τῇ ἐμφανίσει τοῦ γυμνοῦ λόγου, ἐν τῇ θεώσει ἀπόλλυσι τὴν σημασίαν ὁ Ι. Χ. ὡς οἱ τύποι τῶν θείων ἐνταῦθα αὐτοῦ τοῦ Θεοῦ φανέντος καὶ μετεχομένου. («*Εἰ καὶ ἐγνώκαμεν κατὰ σάρκα Χριστόν, ἀλλὰ νῦν οὐκ*

ἔτι γινώσκομεν προκόψαντες ἀπὸ τοῦ σάρκα τὸν λόγον γινώσκειν εἰς τὴν ὡς μονογενοῦς παρὰ πατρὸς αὐτοῦ δόξαν » I. 492, ξα'.) Ὁ I X. ἐστι τύπος τοῦ θεουμένου ἀνθρώπου καὶ ἐνανθρωπιζομένου θεοῦ ἐν τούτῳ τῷ κόσμῳ, ὡς τύπος τοῦ τελείως θεωθέντος ἀνθρώπου ἐστὶν ἐν τῷ τέλει τῆς περιγραφείσης ἀνόδου αὐτοῦ πρὸς τὸν Θεόν. Ὁ λόγος ὁ ἐν τῷ I. X. ἐστιν οὐχὶ ὁ λόγος αὐτὸς, μεθ' οὗ ἑνωθησόμεθα ἐν τῷ μέλλοντι, ἀλλ' ὁ λόγος ὁ ἐν τῇ ἀρετῇ καὶ τῇ σοφίᾳ, δι' οὗ ἐν τούτῳ τῷ κόσμῳ θεούμεθα.




10. Τὸ ἅγιον Πνεῦμα.


Ὡς πρὸς τῇ φυσικῇ ἀποκαλύψει, καὶ εἰδικὴν ἀποκάλυψιν τοῦ Θεοῦ παραδέχεται ὁ Μ., δι' ἧς ὁ Θεὸς τὴν φυσικὴν ἀποκάλυψιν ἐπιρρώννυσιν, οὕτω παραδέχεται καὶ ἐνέργειάν τινα τοῦ Θεοῦ, δι' ἧς ὁ Θεὸς ταῖς φυσικαῖς δυνάμεσι τοῦ ἀνθρώπου, δι' ὧν ὁ ἄνθρωπος ἐκζητεῖ τὸν Θεόν, εἰς βοήθειαν ἔρχεται ἐπιρρωννύων καὶ ἀναζωπυρῶν αὐτάς. Αὕτη ἐστί τὸ πνεῦμα τὸ ἅγιον, ἤτοι ὁ Θεὸς ἐν τῇ τοιαύτῃ ἐνεργείᾳ ἐστι τὸ πνεῦμα τὸ ἅγιον ὡς ὁ Θεός, ὡς τὸ περιεχόμενον τῆς ἀποκαλύψεως ὁ λόγος ἐστίν. Ἐν τῇ ὁδῷ οὖν πρὸς τὸν Θεὸν δέον δύο παράγοντας διακρῖναι ἐν τῷ ἀνθρώπῳ τὰς φυσικὰς αὐτοῦ δυνάμεις καὶ τὴν ἐνέργειαν τοῦ ἁγίου πνεύματος. «*Τὸ ἅγιον Πνεῦμα οὐ καταργεῖ τῆς φύσεως τὴν δύναμιν, ἀλλὰ μᾶλλον καταργηθεῖσαν τῇ χρήσει τῶν παρὰ φύσιν τρόπων ἐνεργὸν ποιεῖ πάλιν τῇ χρήσει τῶν κατὰ φύσιν πρὸς τὴν κατανόησιν τῶν θείων*

εἰσάγων» (I. 201). «*Τὸ ἅγιον πνεῦμα τῶν ὑλικῶν ἀφηλοῦσα τὴν προσηλωμένην ἀποκαθίστησι δύναμιν»* (I, 199) Ὡς τὸ Πνεῦμα τὸ ἅγιον χωρὶς τῶν δεκτικῶν τῆς φύσεως δυνάμεων οὐκ ἐνεργεῖ, οὕτω καὶ ὁ ἄνθρωπος οὐδὲν τῶν χαρισμάτων κτήσεται κατὰ δύναμιν φυσικὴν δίχα τῆς χορηγούσης ταῦτα δυνάμεως (I, 200.). Ὁ Μ. διακρίνει ἐν ταύτῃ τῇ ἐνεργείᾳ γενικὴν ἐνέργειαν καὶ προσδιωρισμένην. «*Γενικῶς πᾶσίν ἐστι τὸ Πνεῦμα τὸ ἅγιον, καὶ τῶν φυσικῶν σπερμάτων ἀνακινητικόν, προσδιωρισμένως ἐστὶν ἐν τῇ εἰδικῇ ἀποκαλύψει τοῦ Θεοῦ, καὶ ἐν μὲν τῇ πρώτῃ ὡς ὑποδεικτικὸν τῆς τῶν ἐντολῶν παραβάσεως καὶ προαγορευτικὸν τῆς κατὰ Χριστὸν προαγορευθείσης ἐπαγγελίας, ἐν τῇ δευτέρᾳ πρὸς τοῖς εἰρημένοις καὶ ὡς δημιουργὸν τῆς κατὰ χάριν υἱοθεσίας»* (I, 33). Καὶ τὴν θέωσιν τοῦ ἀνθρώπου τὴν τελείαν τὸ πνεῦμα τὸ ἅγιον ἐνεργεῖ. Ἀλλὰ πρὸς τοῦτο οὐκ ἀρκοῦσιν αἱ φυσικαὶ δυνάμεις κα' τὸ πνεῦμα τὸ ἅγιον. Πρὸς τοῦτό ἐστιν ἀναγκαία ἡ ἐλευθέρα θέλησις τοῦ ἀνθρώπου. Καὶ τοῦτό ἐστι τὸ μόνον, ὅπερ παρέχει ὁ ἄνθρωπος πρὸς σωτηρίαν αὐτοῦ. «*Τὸ πνεῦμα τὸ ἅγιον οὐ γεννᾷ γνώμην μὴ θέλουσαν, ἀλλὰ βουλομένην μεταπλάττει πρὸς θέωσιν»* (I, 22). Μόνον ἡ θέλουσα τὰ καλὰ διάθεσίς ἐστιν ἀναγκαία πρὸς σωτηρίαν του. Ἐὰν ὁ ἄνθρωπος θέλῃ, τότε τίθενται αἱ φυσικαὶ δυνάμεις αὐτοῦ εἰς ἐνέργειαν, ταύταις βοηθεῖ τὸ πνεῦμα τὸ ἅγιον, καὶ τὰ καλὰ πάντα, ἅτινα ἐκ τῆς ἐνεργείας ταύτης ὁ ἄνθρωπος ἑαυτῷ οἰκειοῦται, εἰσιν ἐκ Θεοῦ. Διὰ τοῦτο τὴν θέλουσαν ψυχὴν παραβάλλει ὁ Μ. κηρῷ· ὡς ὁ κηρὸς οὕτω καὶ ἡ ψυχὴ ἐν τῇ ἐπιλάμψει τοῦ ἡλίου τῆς δικαιοσύνης ἁπαλύνεται καὶ τοὺς τῶν θείων τύπους καὶ χαρακτῆρας εἰσδέχεται. Τὴν μὴ θέλουσαν ψυχὴν παραβάλλει ὁ Μ. πηλῷ· ὡς ὁ πηλὸς οὕτω καὶ ἡ μὴ θέλουσα ψυχὴ ἐν τῇ ἐπιλάμψει τοῦ

Θεοῦ κατὰ τὴν γνώμην ἀντιτυποῦσα σκληρύνεται (Ι, 463 ια. ιβ'.). Ἡ ἔννοια τῆς ἐλευθερίας ταύτης ἐστὶν ἡ ἔννοια τῆς ἀπολύτου ἐλευθερίας, ἣν παρὰ πᾶσι τοῖς Πατράσιν εὑρίσκομεν.



Ἐγεννήθην 22 Ἰανουαρίου 1866, ἐκ γονέων δόγματος τῆς Ἀνοτολικῆς Ὀρθοδόξου Ἐκκλησίας ἐν Σηλυβρίᾳ, παραλίῳ πόλει τῆς Θρᾴκης. Ἀποπερατώσας τὰς σπουδάς μου ἐν τῇ ἑλληνικῇ Σχολῇ τῆς πατρίδος μου μετέβην εἰς Κων/πολιν, ὅπου ἐπὶ 6 ἔτη φοιτήσας εἰς τὸ ἐκεῖ Γυμνάσιον, τὴν μεγάλην τοῦ Γένους Σχολήν, ἔλαβον τὸ διδασκαλικὸν δίπλωμα (1884). Ἐδίδαξα ἔπειτα ἐπὶ 4 ἔτη ἐν τῇ ἀστικῇ Σχολῇ τῆς πατρίδος μου. Ἔπειτα μεταβὰς εἰς Ἀθήνας ἤκουσα ἐπὶ 2 ἔτη ὡς φοιτητὴς τῆς Θεολογίας θεολογικῶν καὶ φιλοσοφικῶν μαθημάτων. Τὰς σπουδὰς ἐξηκολούθησα ἔπειτα ἐν Λειψίᾳ ἐπί 3 ἔτη ἀκροώμενος ὡς φοιτητὴς τῆς φιλοσοφικῆς Σχολῆς φιλοσοφικῶν, φιλολογικῶν καὶ θεολογικῶν μαθημάτων. Ἐπὶ ἓν ἑξάμηνον ἐφοίτησα καὶ εἰς τὸ Πανεπιστήμιον τοῦ Μαρβούργου. Ἐν Λειψίᾳ δέ ὑποστὰς τὰς νενομισμένας ἐξετάσεις, ἀνηγορεύθην διδάκτωρ κατὰ Ἰούλιον 1893.


Princeton Theological Seminary-Speer Library
1 1012 01014 4436